
MIS

100001	200002	300003	400004	500005
͵ρα	͵σβ	͵τγ	͵υδ	͵φε
600006	700007	800008	900009	
͵χϛ	͵ψζ	͵ωη	ϡθ	
900001	900002	900003	900004	900005
ϡα	ϡβ	ϡγ	ϡδ	ϡε
900009				
ϡϛ.				

καὶ τὰ λοιπὰ,

ΤΕΛΟΣ.

REGISTRVM.

A B C D E F G H I K L M N O P
Q R S T V X Y Z.

Omnes Quaterniones.

Venetijs, apud Petrum de Nicolinis de Sabio. Sumptu
Ioannis Marci Saluioni, Anno Domini.
M. D. XLVIII.

501	502	503	504	505
φα	φβ	φγ	φδ	φε
506	607	508	509	600
φς	φζ	φη	φθ	χ
601	602	603	604	605
χα	χβ	χγ	χδ	χε
606	607	608	609	700
χς	χζ	χη	χθ	ψ
701	702	703	704	705
ψα	ψβ	ψγ	ψδ	ψε
706	707	708	709	800
ψς	ψζ	ψη	ψθ	ω
801	802	803	804	805
ωα	ωβ	ωγ	ωδ	ωε
806	807	808	809	900
ως	ωζ	ωη	ωθ	ϡ
901	902	903	904	905
ϡα	ϡβ	ϡγ	ϡδ	ϡε
906	907	908	909	910
ϡς	ϡζ	ϡη	ϡθ	ϡι
1000	2000	3000	4000	5000
͵α	͵β	͵γ	͵δ	͵ε
6000	7000	8000	9000	10000
͵ς	͵ζ	͵η	͵θ	͵ι
20000	30000	40000	50000	60000
͵κ	͵λ	͵μ	͵ν	͵ξ
70000	80000	90000	100000	
͵ο	͵π	͵ς	͵ρ	

71	72	73	74	75
οα	οβ	ογ	οδ	οε
76	77	78	79	80
ος	οζ	οη	οθ	π
81	82	83	84	85
πα	πβ	πγ	ϖδ	ϖε
86	87	88	89	90
ϖς	πζ	πη	πθ	ϟ'
91	92	93	94	95
ϟα	ϟβ	ϟγ	ϟδ	ϟε
96	97	98	99	100
ϟς	ϟζ	ϟη	ϟθ	ρ
101	102	103	104	105
ρα	ρβ	ργ	ρδ	ρε
106	107	108	109	200
ρς	ρζ	ρη	ρθ	σ
201	202	203	204	205
σα	σβ	σγ	σδ	σε
206	207	208	209	300
σς	σζ	ση	σθ	τ
301	302	303	304	305
τα	τβ	τγ	τδ	τε
306	307	308	309	400
τς	τζ	τη	τθ	υ
401	402	403	404	405
υα	υβ	υγ	υδ	υε
406	407	408	409	500
υς	υζ	υη	υθ	φ

Ἀριθμοὶ κατὰ ἕλληνας.

1	2	3	4	5
α	β	γ	δ	ε
6	7	8	9	10
ς	ζ	η	θ	ι
11	12	13	14	15
ια	ιβ	ιγ	ιδ	ιε
16	17	18	19	20
ις	ιζ	ιη	ιθ	κ
21	22	23	24	25
κα	κβ	κγ	κδ	κε
26	27	28	29	30
κς	κζ	κη	κθ	λ
31	32	33	34	35
λα	λβ	λγ	λδ	λε
36	37	38	39	40
λς	λζ	λη	λθ	μ
41	42	43	44	45
μα	μβ	μγ	μδ	με
46	47	48	49	50
μς	μζ	μη	μθ	ν
51	52	53	54	55
να	νβ	νγ	νδ	νε
56	57	58	59	60
νς	νζ	νη	νθ	ξ
61	62	63	64	65
ξα	ξβ	ξγ	ξδ	ξε
66	67	68	69	70
ξς	ξζ	ξη	ξθ	ο

τα. καὶ ὑφέρειν η, δυϊκῶν τοιούτων, ὡς δυκοίης δυκοῖς. τιμώης τιμᾶς, ἐξαιρεῖν βραχέα· ἔστιν ἀττικὸν, λύεται λῦται. οἴομαι. οἶμαι. καὶ τὸ λῦτο, ἀντὶ τοῦ ἐλύετο. καὶ ἔστιν ἀττικὸν κακίους κακίονες. ἀρείους, ἀρείονες. καὶ αἰτιατικὰς τοιούτων μὴ διαιρεῖν, τοὺς βοῦς, ἰχθῦς. τῶν αὐτῶν ἐστι τὸ ἑώρων, ἑαλυσάμην ἐκ περισσοῦ προστιθέντων τὸ ε, καὶ τὸ συναιρεῖν τὸ ι, τῶν τοιούτων ἠιόνες, νηρηίδες. ἔστιν ἀττικῶν καὶ γέραϊ κέραϊ, σέλαϊ, καὶ λέγειν ἔστων καὶ ἐπέσθων, καὶ ἀντὶ τοῦ ἔστωσαν, καὶ ἐπέσθωσαν, καὶ δυϊκῶν χρῆσις, ἀντὶ παρεληλυθότων τῶν ὁριστικῶν, καὶ τοῖς θηλυκοῖς ἀρσενικὰ συντάσσειν, ὡς ὁ σοφὸς. ὅμηρος κλυτὸς ἱπποδάμεια.

ὁμότριχας, ὄτριχας καὶ τὸ τρέμειν τρεῖν. τῶν αὐτῶν
δέ ἐστι τὸ ὑπερβιβάζειν τὰ στοιχεῖα, ὡς τὸ κάρτιστοι,
ἀντὶ τοῦ κράτιστοι, ὅμηρος κραδίην δ' ἐλάφοιο. Αἰο-
λέων μὲν ἐν συνθέτοις τῇ συγκοπῇ χρῆσθαι, καδ-
δραθέτων, ἀντὶ τοῦ καταδραθέτων. καὶ ὑβάλλειν, ἀν-
τὶ τοῦ ὑποβάλλειν. ἐν δὲ τῷ παρατατικῷ, η, ἀντὶ
τοῦ ει, ὡς ἐφίλη ἐνόη. καὶ τὸ ἐναλλάσσειν τὸ σ, εἰς τὸ
δ, ὡς ὀδμὴ, ἴδμεν, καὶ τὸ πλεονάζειν, ὡς εὔκηλος, ἔκη-
λος, αὐτὰρ, ἀτὰρ, καὶ προστιθέναι δευτέρῳ προσώ-
πῳ ῥημάτων θα. ὡς ἔφησθα ἔφης, τὸν δὲ διπλασια-
σμὸν τῶν συμφώνων, οἱ μὲν δωριεῦσιν οἱ δὲ αἰο-
λεῦσιν προσνέμουσιν, οἷόν ἐστιν, ἔλλαβε, ὅππότερος.
Ἰώνων δὲ ἴδιόν ἐστι τὸ ἀφαιρέσει χρῆσθαι παρῳχηκόσι
χρόνοις, ὡς τὸ βῆ, καὶ δώκεν, ἔθος γὰρ ἔχουσι ἀπὸ τῶν
στοιχείων ἐνεστῶτας ἀπὸ τῶν παρῳχημένων ἄρχεσθαι,
καὶ προστιθέναι τῷ τοὺς τρίτους προσώπους ὑπο-
τακτικῶν τὸ σι, ὡς ἔλθησι, λάβησι, καὶ δοτικαῖς, ὡς
ὕλῃσι θύρῃσι, καὶ ὄνομα, νοῦσον κεινὸν, μεῖλαν, ἀντὶ
τοῦ ὄνομα, νόσον, κενὸν μέλαν λέγειν. τὸ μεταβάλλειν
τὸ α, εἰς τὸ η, ἐπειδὰν ἐκτείνηται, ὡς ἤρη ἀθήνη, ἐκ τοῦ
ἐναντίου, η, εἰς τὸ α, ὡς λελασμένος λελησμένος.
καὶ τὸ διαιρεῖν τὰ περισπώμενα ῥήματα, καὶ τὰς
γενικὰς εἰς ους, καὶ γενικὰς πληθυντικὰς τῶν δευ-
τέρων πληθυντικὰς εὐθείας εἰς τὸ η, καὶ αὐτῶν γε-
νικὰς, ὡς φρονέων, σαπφόος, στήθεα. ἰδίως δὲ λέγουσι
τετράφαται, καὶ τὰ τοιαῦτα.

Α ττικῶν ἴδιον εως ἀντὶ αος, λέγειν, ὡς ὁ μενέλεως, καὶ
τὸ συναλείφειν, καὶ ἀντὶ δύο ποιεῖν μίαν συλλα-
βὴν ὡς τοὔπος τοὔνομα λωτεύοντα, ἀντὶ τοῦ λωτεύων

Ἀπαρέμφατα.

εἶναι καὶ ἔμμεναι. μέλλων, ἔσεσθαι.

Μετοχὴ, ἐνεστῶς.

ὁ ὢν	τοῦ ὄντος.
ἡ οὖσα	τῆς οὔσης.
τὸ ὂν	τοῦ ὄντος.

Μέσος μέλλων.

ὁ ἐσόμενος	τοῦ ἐσομένου.
ἡ ἐσομένη	τῆς ἐσομένης.
τὸ ἐσόμενον	τοῦ ἐσομένου.

Περὶ τινὸς τοῦ ῥήματος, μέσος παρακείμ. ἐνικά.

οἶδα	οἶδας	οἶσθα	οἶδε.
δ.	οἴδατον		οἴδατον.

π. οἴδαμεν, ἴδμεν, ἴσμεν, οἴδατε, οἴδασι.

Ὑπερσυντέλικος, ἐνικά.

ᾔδειν	ᾔδεις	ᾔδει.
δ.	ᾔδειτον	ᾐδείτην
π. ᾔδειμεν	ᾔδειτε	ᾔδεισαν.

Ἀπαρέμφατα, ἐνεστῶς. εἰδέναι.

Μετοχή.

ὁ εἰδὼς	τοῦ εἰδότος.
ἡ εἰδυῖα	τῆς εἰδυίας.
τὸ εἰδὸς	τοῦ εἰδότος.

Χαρακτῆρες διαλέκτων τῶν ἑλλήνων.

Δωριέων μὲν οὖν ἴδιόν ἐστι τῆς βραχυλογίας ἐλλείψει χρῆσθαι, τὸ δῶμα λέγων δῶ, καὶ ὅτι, ὅ, καὶ τὸ ὄπισω ἂψ μεταβαλὼν τὸ ο, εἰς τὸ α. τό δὲ, π, καὶ τὸ σ, εἰς τὸ ψ, ὅμηρος ἔμον δῶ, καὶ ὅθι αἰετὸς ἔκτανε χῆνας, καὶ τοιαῦτα. ὁμοίως δὲ μέσα συντεμὼν λέγει

π. ἐσμὲν ἐστὲ εἰσί.

Παρατατικός. ἑνικά.

ἦν ἦς ἦ
δ. ἦτον ἤτην,
π. ἦμεν ἦτε ἦσαν.
Καὶ ἀττικῶς ἤην, ἤης, ἤη.

Ὑπερσυντέλικος. ἑνικά.

ἤμην ἦσο ἦτο.

Μέλλων. ἑνικά.

ἔσομαι ἔσῃ ἔσεται.
δ. ἐσόμεθον ἔσεσθον ἔσεσθον.
π. ἐσόμεθα ἔσεσθε ἔσονται

Προστακτικόν. ἑνικά.

ἔσο, καὶ ἴσθι ἔστω.
δ. ἔστον ἔστων,
π. ἔστε ἔστωσαν.

Εὐκτικόν. ἑνικά.

εἴην εἴης εἴη.
δ. εἴητον εἰήτην.
π. εἴημεν εἴητε εἴησαν.
καὶ εἶεν. ἔοιμι, ἔοις, ἔοι, ἀπὸ τοῦ ἔω.

Μέλλων. ἑνικά.

ἐσοίμην ἔσοιο ἔσοιτο.
δ. οἵμεθον ἔσοισθον ἐσοίσθην,
π. ἐσοίμεθα ἔσοισθε ἔσοιντο.

Ὑποτακτικόν, ἐνεστώς, ἑνικά.

ἐὰν ὦ ᾖς ᾖ,
δ. ἦτον ἦτον,
π. ὦμεν ἦτε ὦσι.

αὐτώνιος, αὐτωνιάδης, εἰ δὲ μὴ καθαρὸν εἰς ιδης, ἔσαι τότε. οἷον κρόνος, κρονίδης. ῥωμύλος, ῥωμυλίδης. εἰ δὲ τὸ πατρωνυμικὸν ἀπὸ τῆς γενικῆς εἰς ος, γένηται εἰς ιδης, σχηματίζεται. οἷον, πέλοψ, πέλοπος, πελοπίδης. νέστωρ, νέστορος, νεστορίδης, σκιπίων, σκιπίωνος, σκιπιωνίδης. εἰ μὲν ἐν τῇ γενικῇ τὸ ε, παραλήγει. τότε γὰρ εἰς ειδης. τὸ πατρωνυμικὸν ποιεῖ. οἷον πηλεὺς, πηλέως, πηλείδης, καὶ πηλείδης κατὰ συναίρεσιν, τυδεὺς, τυδέως, τυδεΐδης, τυδείδης. εἰ δὲ ἀπὸ τῆς α. κλίσεως, εἴη εἰς αδης γίνεται τὸ πατρωνυμικόν. οἷον αἰνείας, αἰνειάδης. ἱππότης, ἱπποτάδης.

Ι σέον ὅτι τὸ πατρωνυμικὸν τὸ ἀρσενικὸν θέλει προστιθέναι τοῦ ἰδίου πρωτοτύπου μία συλλαβῇ ὡς ἐν τοῖς ἄνω φαίνεται, εἰ μὴ ἐν οἷς συναίρεσις γίνεται. οἷον πηλεΐδης, πηλείδης, ἔντισι δὲ καὶ τὸ α, προσλαμβάνει καταχρηστικῶς. οἷον πηλειάδης ἀγαμεμνονιάδης.

Τ ὰ θηλυκὰ ἀπὸ τῶν ἰδίων ἀρσενικῶν σχηματίζονται ἀποβολῇ τοῦ δη. οἷον, ἡλιάδης, ἡλιὰς. νεστορίδης, νεστορὶς. Καὶ ἄλλο εἶδος νηρείνη, ἀπὸ τῆς δοτικῆς καὶ ἰναχιώνη, ὡς Καλλίμαχος ἐν δήλῳ. Σημείωσαι ὅτι τὰ μὲν ἀρσενικὰ κατὰ πρώτην κλίσιν κλίνονται. οἷον πηλείδης, πηλείδου, πηλείδεω, καὶ πηλείδαο ἰωνικῶς, τὰ θηλυκὰ δὲ κατὰ τὴν πέμπτην κλίσιν κλίνονται, οἷον ἡλιὰς ἡλιάδος.

Κλίσις τοῦ ὑπαρκτικοῦ ῥήματος. ἐνικά.

εἰμὶ εἶ ἢ	εἰς	ἐστὶ,
δ.	ἐστὸν	ἐστὸν.

τερος, φίλτατος. ἀεὶ κατὰ συγκοπὴν ἔράδιος, ῥάων, ῥᾷστος.

Εἰ δὲ εἰς ης, διὰ τοῦ εος, καὶ ους, τὸ θετικὸν εἴη, ἀπὸ τοῦ οὐδετέρου εἰς ες, σχηματίζεται τὸ συγκριτικὸν προσθέσει τοῦ τερος. καὶ τὸ ὑπερθετικὸν προσθέσει τοῦ τατος. οἷον, ἀληθὴς, ἀληθὲς, ἀληθέστερος, καὶ ἀληθέστατος, ἀκριβὴς, ἀκριβὲς, ἀκριβέστερος, ἀκριβέστατος. εἰ δὲ εἰς υς, διὰ τοῦ υτερος, τὸ συγκριτικὸν καὶ διὰ υτατος, τὸ ὑπερθετικόν. οἷον βραχὺς, βραχύτερος, βραχύτατος. ἡδὺς μέν τοι ἡδίων ἥδιστος, ταχὺς, ταχίων, τάχιστος. Τὰ δὲ ἄλλα εἰς ἄλλως λήγοντα ὡς ἐπὶ τὸ πλεῖστον εἰς εστερος, καὶ εστατος ποιεῖ. οἷον εὐπινώτατος, πολυπονώτατος, σωφρονέστερος σωφρονέστατος, χαρίεις, χαρίεντος, χαριέστερος, χαριέστατος. εὔνους, εὐνούστερος, εὐνούστατος ποιεῖ.

Περὶ συντάξεως τῶν συγκριτικῶν.

Τὰ συγκριτικὰ τῇ γενικῇ συντάσσεται. οἷον νεώτερος σοῦ ἐστι, καὶ τῇ δοτικῇ σημαινούσῃ ὑπερβολήν. οἷον φραγκίσκος ἐστὶ μείζων τῆς ἐλπίδος ἑνὶ δακτύλῳ.

Περὶ πατρωνυμικῶν.

Πατρωνυμικὸν ὄνομά ἐστι τὸ υἱὸς, ἢ ἔγγονος σημαῖνον. οἷον αἰακίδης ἤγουν υἱὸς, ἢ ἔγγονος αἰακοῦ, εἴδη δὲ τῶν πατρωνυμικῶν ἐστὶ ταῦτα. τῶν πατρωνυμικῶν τὰ μὲν ἀρσενικά. τὰ δὲ θηλυκά. καὶ τῶν μὲν ἀρσενικῶν τρία εἴδη εἰσίν, ἢ γὰρ εἰς δης. οἷον πηλεϊδης. ὅπερ κοινόν ἐστιν, ἢ εἰς ων. οἷον ἀτρείων, ὅπερ τῶν ἰώνων ἐστὶν, ἢ εἰς διος. οἷον ὑῤῥάδιος, εἰ μὲν οὖν ἀπὸ τῶν εἰς ος, ὀνομάτων εἴη, καὶ τὸ ος, καθαρὸν ᾖ, διὰ τοῦ αδης, τὸ πατρωνυμικὸν ἔσται. οἷον ἥλιος, ἡλιάδης.

E. πυνθάνομαι. μ. πεύσομαι. ἀόριστος β΄. ἐπυθόμην. παρακείμενος, πέπυσμαι.

E. θνήσκω. μ. θανοῦμαι, ἢ τεθνήξομαι. ἀόριστος β΄. ἔθανον. παρακείμενος, τέθνηκα.

E. αὔξω μ. αὐξήσω. ὁμοίως καὶ αὐξαίνω. μ. ξήσω.

E. πετάννυμι. μ. πετάσω. παρακ. πέπτακα.

Περὶ τῶν συγκριτικῶν ὀνομάτων.

Συγκριτικὸν ὄνομά ἐστι δι' οὗ σύγκρισις γίνεται πρὸς ὁμογενεῖς, ἢ ἑτερογενεῖς. οἷον Ἕκτωρ ἦν ἰσχυρότερος τῶν Δαναῶν, ἢ τῶν Τρώων. οἱ τύποι τῶν συγκριτικῶν δύο εἰσίν, ἢ γὰρ εἰς ων, ἢ εἰς ρος λήγει. οἷον πλουσιώτερος καὶ μείζων.

Τὰ ὀνόματα τὰ εἰς ος, λήγοντα. εἰ μὲν μακρὰ εἴη ἡ παραλήγουσα, ἢ φύσει, ἢ θέσει, τό τε ο, ἔσχατον εἰς ο μικρὸν μένει. καὶ ἐν θέσει τοῦ τερος τὸ συγκριτικὸν ποιεῖ. οἷον ἔνδοξος, ἐνδοξότερος. παλαιός, παλαιότερος. πρᾶος, πρᾳότερος. εἰ δὲ βραχεῖα εἴη, τὸ ο μικρὸν εἰς ω μέγα τρέπεται. οἷον, ὠφέλιμος, ὠφελιμώτερος.

Περὶ ὑπερθετικῶν.

Ὁμοίως καὶ τὰ ὑπερθετικὰ προσθέσει τα, τος, σχηματίζονται, οἷον ἔνδοξος ἐνδοξότατος. παλαιός, παλαιότατος. ὠφέλιμος, ὠφελιμώτατος. πλὴν μέγας μείζων, μέγιστος. καλὸς καλλίων κάλλιστος, ἀγαθὸς βελτίων, ἢ ἀμείνων, ἢ κρείττων, βέλτιστος. ἄριστος. κράτιστος. πολὺς πλείων, πλεῖστος, κακός, κακώτερος. ὡς Ἀπολλώνιος, ἢ κακίων, ἢ χείρων κάκιστος. μικρὸς μείων ἐλάττων, ἢ ἥττων ἐλάχιστος. ἐχθρὸς ἐχθίων ἔχθιστος, αἰσχρὸς αἰσχίων αἴσχιστος, φίλος, φίλ

ρισος β΄. ἔγνων, ἔγνως, ἔγνω.

Ε. ἔρχομαι. μ. ἐλεύσομαι. παρακ. ἐλήλυθα. ἀόριστος β΄. ἦλθον.

Ε. τυγχάνω. μέλλων, τεύξομαι. παρακ. τετύχηκα. ἀόριστος β΄. ἔτυχον.

Ε. ἔχω. μ. ἕξω. παρακ. ἔσχηκα. ἀόριστος β΄. ἔσχον.

Ε. πίπτω. μ. πεσοῦμαι. παρακείμενος, πέπτωκα. ἀόριστος β΄. ἔπεσον.

Ε. πίνω. μ. πώσω. παρακείμενος, πέπωκα. ἀόριστος β΄. ἔπιον. ἐνεστώς.

φέρω. μ. οἴσω. παρακ. ἐνήνοχα. ἀόρι. β΄. ἤνεγκα.

Ε. βάλλω. μέλλων, βαλῶ. παρακείμενος, βέβληκα. ἀόριστος β΄. ἔβαλον.

Ε. ἐθέλω, ἢ θέλω. μέλλων, θελήσω. παρακείμενος, ἐθέληκα, ἢ ἠθέληκα. μετοχὴ. ὁ θελήσας, ἢ καὶ ἠθελήσας. ἐνεστώς.

ὁράω. παρατατικὸς, ἑώραον. παρακείμενος, ἑώρακα. καὶ μετοχὴ. ὁ ἑωρακώς.

Ε. ὠνοῦμαι. παρακείμενος, ἑώνημαι. μετοχὴ. ὁ ἑωνημένος.

Ε. ἀνοίγω ἀπὸ τοῦ οἴγω. παρακ. ἀνέωξα. τὸ ε, προσλαμβάνει οὕτω, καὶ τὸ ἔοικα ἀπὸ τοῦ οἴκω.

Ε. εὑρίσκω. μέλλων, εὑρήσω. παρακείμενος, εὕρηκα. ἀόριστος. β΄. εὗρον.

Ε. ἀφικνοῦμαι. μ. ἀφίξομαι. ἀόριστος β΄. ἀφικόμην. παρακείμενος, ἀφῖγμαι.

Ε. ὑπισχνοῦμαι. μέλλων, ὑποσχήσομαι. μέσος ἀόριστος. β΄. ὑπεσχόμην.

Ε. ῥήγνυμι. μέλλων, ῥήξω. ἀόριστος β΄. ἐῤῥάγην.

ἐν, εἰς, ἐξ, σὺν, πρὸς, πρὸ, δισύλλαβοι δέ, δύο καὶ δέκα, ἀνὰ, κατὰ, διὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ, ἀπὸ, ὑπὸ, ὑπέρ.

Ι Ἰστέον ὅτι καί τινα ἐπιρρήματα, ἀντὶ προθέσεων λαμβάνονται, ἃ ὡς ἐπὶ τὸ πλεῖστον τῇ γενικῇ συντάσσονται. οἷον ἄνευ, μέχρι, καὶ ἄλλα πολλά.

Ρήματα ἀνώμαλα.

Ε. φθάνω. μέλλων, φθάσω. ἀόριστος α΄. ἔφθασα. ἀόριστος β. ἔφθην, μετοχή. ὁ φθάς.

Ε. λαμβάνω. μέλλων, λήψομαι. παρακείμενος, λέληφα, ἢ εἴληφα. ἀόριστος β΄. ἔλαβον.

Ε. μανθάνω. μέλλων, μαθήσομαι. παρακείμενος μεμάθηκα. ἀόριστος β΄. ἔμαθον.

Ε. λανθάνω. μέλλων, λήσω. παρακείμενος, λέληθα. ἀόριστος β΄. ἔλαθον.

Ε. ἁμαρτάνω. μέλλων, ἁμαρτήσω. παρακείμενος, ἡμάρτηκα. ἀόριστος β΄. ἥμαρτον.

Ε. συμβαίνω. μέλλων, συμβήσομαι. παρακ. συμβέβηκα. ἀόριστος β΄. συνέβην, συνέβης.

ὁμοίως καὶ τὰ ἀπὸ τοῦ βαίνω. οἷον ἀποβαίνω.

Ε. αἰσθάνομαι. μέλλων, αἰσθήσομαι. παρακείμενος ᾔσθημαι, ᾔσθησαι. ᾔσθηται. ἀόριστος δεύτερος ᾐσθόμην.

Ε. γίνομαι, ἢ γίγνομαι. μ. γενήσομαι. παρα. γεγένημαι. μέσος, γέγονα. ὑπερσ. ἐγεγόνειν. μέσος ἀόριστος β΄. ἐγενόμην.

Ε. πάσχω. μ. πείσομαι, παρακείμενος, πέπονθα. ἀόριστος β΄. ἔπαθον.

Ε. γινώσκω. μ. γνώσω. παρακείμενος, ἔγνωκα. ἀό-

δ. τούτῳ, τούτοιν, ὦ τούτω.

π. ταῦτα, τούτων, τούτοις, ταῦτα, ὦ ταῦτα.

ἐκεῖνος, ἐκείνη, ἐκεῖνο, κατὰ τὰς ὀνομάτων κλίσεις κλίνονται.

Ἐπιταγματικαί.

Π όσαι ἐπιταγματικαί; μία τῶν τριῶν γενῶν λεγομένη. αὐτὸς, αὐτὴ, αὐτὸ. λαμβάνεται, καὶ ἐπὶ τῶν τριῶν προσώπων, ἀντὶ τοῦ ἐγὼ, σὺ. ἐκεῖνος.

Περὶ συνθέτων.

Π όσαι σύνθετοι; τρεῖς, αἱ ἐυθείας οὐκ ἔχουσιν ἀρσενικὸν ἐμαυτοῦ, ἐμαυτῷ, ἐμαυτὸν.

Θηλυκὸν, ἐμαυτῆς, ἐμαυτῇ, ἐμαυτήν.

Οὐδέτερον, ἐμαυτοῦ, ἐμαυτῷ, ἐμαυτὸ.

καὶ ταῦτα μὲν τοῦ πρώτου προσώπου εἰσί.

Δευτέρου τοῦ προσώπου.

Ἀρσενικὸν, σαυτοῦ, σαυτῷ, σαυτὸν.

Θηλυκὸν, σαυτῆς, σαυτῇ, σαυτήν.

Οὐδέτερον, σαυτοῦ, σαυτῷ, σαυτό.

Κ αὶ αἱ μὲν τοῦ πρώτου προσώπου, καὶ δευτέρου ἑνικῶς μόνον κλίνονται, αἱ δὲ τοῦ τρίτου, καὶ πληθυντικῶς, αἱ δὴ οὐ μόνον συνθέτως, ἀλλὰ καὶ διῃρημένως κλίνονται. οἷον ἑαυτῶν καὶ σφῶν, αὐτῶν ἑαυτοῖς, καὶ σφίσιν, αὐτοῖς. ἑαυτοὺς, καὶ σφᾶς αὐτούς. λαμβάνονται δὲ τὸ ἑαυτῶν ἑαυτοῖς ἐπὶ τῶν τριῶν προσώπων.

Ε αυτοῦ, ἑαυτῷ, ἑαυτὸν, ἑαυτῆς, ἑαυτῇ, ἑαυτήν, ἑαυτοῦ, ἑαυτῷ, ἑαυτό.

Περὶ προθέσεων.

Π όσαι προθέσεις; δεκαοκτὼ, μονοσύλλαβοι μὲν, ἕξ,

Γ ὅσαι πρωτότυποι; τρεῖς, ἐγώ, σύ, ὅς, γύναι. ἐγὼ ἐμοῦ, ἐμοί, καὶ ἐμὶν δωρικῶς, ὡς Καλλίμαχος ἐν δημήτρᾳ, ἐμέ.

Δ. νῶϊ, καὶ νῶ, νῶϊν, καὶ νῶν.

Π. ἥμεες ἧμαις, ἡμέων ἡμῶν, ἡμῖν, ἡμέας, ἡμᾶς.

Ε. Σύ, σοῦ, καὶ σέο, ἢ σεῖο, ἰωνικῶς, καὶ σέθεν, σοί, καὶ τεΐν, δωρικῶς, ἰωνικῶς, καὶ αἰολικῶς. λέγεται τὶν καὶ τίν δὲ αἰολικῶς, σε. Δ. σφῶϊ, καὶ σφῶ, σφῶϊν, καὶ σφῶν. Π. ὕμεες, ὑμεῖς, ὑμέων, ὑμῖν, ὑμῖν, ὑμέας, ὑμᾶς.

Ος ἄχρηστον περὶ τῆς εὐθείας οὗ, οἷ, ἕ.

Δ. σφῶε, καὶ σφέ, σφῶϊν.

Π. σφέες, σφεῖς, σφέων, σφῶν, σφίσι, σφέας, σφᾶς.

Κτητικαί.

Γ ὅσαι κτητικαί; ὀκτὼ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι ἐμός, σός, ἑός, νωΐτερος, σφωΐτερος, ἡμέτερος, ὑμέτερος, σφέτερος. ὧν ἑκάστη ἐν τρισὶ γένεσι κλίνεται. οἷον, ἐμός, ἐμή, ἐμόν. νωΐτερος, νωϊτέρα, νωΐτερον, καὶ τὰ λοιπὰ ὁμοίως.

Δεικτικαί.

Γ ὅσαι δεικτικαί; δύο, οὗτος, αὕτη, τοῦτο, καὶ ἐκεῖνος, ἐκείνη, ἐκεῖνο.

Οὗτος, τούτου, τούτῳ, τοῦτον, ὦ οὗτος.

Δ. τούτω, τούτοιν, ὦ τούτω.

Π. οὗτοι, τούτων, τούτοις, τούτους, ὦ οὗτοι.

αὕτη, ταύτης, ταύτῃ, ταύτην, ὦ αὕτη.

Δ. ταύτα, ταύταιν, ὦ ταύτα.

Π. αὗται, τούτων, ταύταις, ταύτας, ὦ αὗται.

τοῦτο, τούτου, τούτῳ, τοῦτο, ὦ τοῦτο.

Δ. τούτω,

τὸ ζευγνῦν	τοῦ ζευγνῦντος.

Καὶ κατὰ τοῦ βαρυτόνου.

τὸ ζευγνύον	τοῦ ζευγνύοντος.

Ὁριστικὰ παθητικὰ, ἐνεστὼς. ἑνικά.

ζεύγνυμαι	ζεύγνυσαι	ζεύγνυται,
δ. γνύμεθον	ζεύγνυσθον	ζεύγνυσθον,
π. γνύμεθα	ζεύγνυσθε	ζεύγνυνται.

Παρατατικὸς. ἑνικά.

ἐζευγνύμην	ἐζεύγνυσο	ἐζεύγνυτο.
δ. ύμεθον	ἐζεύγνυσθον	ύσθην,
π. ύμεθα	ἐζεύγνυσθε	ἐζεύγνυντο.

Μέσος μέλλων.

ζεύξομαι ζεύξῃ ἔαι ζεύξεται.

Καὶ τὰ λοιπὰ, ὡς τύψομαι.

Μέσος ἀόριστος. ἐζευξάμην.

Προστακτικὰ παθητικὰ, ἐνεστὼς. ἑνικά.

	ζεύγνυσο	ύσθω,
δ.	ζεύγνυσθον	ύσθων,
π.	ζεύγνυσθε	ύσθωσαν.

Ἀπαρέμφατα. ἐνεστὼς.

ζεύγνυσθαι. ἄλλοι δὲ χρόνοι ἄχρηστοι ὅλως.

Μετοχαὶ παθητικαὶ, ἐνεστὼς, καὶ παρα.

ὁ ζευγνύμενος	τοῦ ζευγνυμένου.
ἡ ζευγνυμένη	τῆς ζευγνυμένης.
τὸ ζευγνύμενον	τοῦ ζευγνυμένου.

Περὶ ἀντωνυμιῶν.

Π όσα εἴδη τῶν ἀντωνυμιῶν; πέντε, πρωτότυποι, κτητικαὶ, δεικτικαὶ, ὑποτακτικαὶ καὶ σύνθετοι.

Πρωτότυποι.

π. ἐζεύξαμεν	ἐζεύξατε	ἔζευξαν.

Σημείωσαι ὅτι οἱ δὲ ἄλλοι χρόνοι ἐλλείπουσιν ἐν τοῖς ὁριστικοῖς ταύτης συζυγίας.

Μέλλων. ἑνικά.

ζεύξω	ζεύξεις	ζεύξει.
δ.	ζεύξετον	ζεύξετον.
π. ζεύξομεν	ζεύξετε	ζεύξουσι.

Προστακτικὰ ἐνεργητικά, ἐνεστώς, ἑνικά.

ζεύγνυθι	ζεύγνυ	ζευγνύτω.
δ.	ζεύγνυτον	ζευγνύτων.
π.	ζεύγνυτε	ζευγνύτωσαν.

Εὐκτικὰ ἐνεργητικά, ἐνεστώς, καὶ παρατατικός. ἑνικά.

ζευγνύοιμι	ζευγνύοις	ζευγνύοι,
δ.	ζευγνύοιτον	ζευγνυοίτην.
π. ύοιμεν	ύοιτε	ύοιεν.

Ἀόριστος αἰολικός. ἑνικά.

ζεύξεια, καὶ ἀττικῶς. ζεύξειας, ζεύξειε. Καὶ λοιπὰ ἐλλείπει ἀεί, πλὴν ζεύξειαν.

Ὑποτακτικὰ ἐνεργητικά, ἐνεστὼς καὶ παρατατικός. ἑνικά.

ἐὰν ζευγνύω	ύης	ύη.
δ.	ύητον	ύητον.
π. ύωμεν	ύητε	ύωσι.

Ἀπαρέμφατα. ἐνεστώς.

ζευγνύναι. οἱ ἕτεροι χρόνοι ἄχρηστοι.

Μετοχαὶ ἐνεργητικαί. ἐνεστώς.

ὁ ζευγνὺς	τοῦ ζευγνύντος,
ἡ ζευγνῦσα	τῆς ζευγνύσης.

Μέσος ἀόριστος ἄληστος.

ὁ διωκάμενος	τοῦ καμένου.
ἡ διωκαμένη	τῆς καμένης,
τὸ διωκάμενον	τοῦ καμένου.

Μέσος ἀόριστος β΄.

ὁ διόμενος	τοῦ διομένου,
ἡ διομένη	τῆς διομένης,
τὸ διόμενον	τοῦ διομένου.

Μέσος μέλλων.

ὁ διασώμενος	τοῦ σωμένου.
ἡ διωσομένη	τῆς σωμένης,
τὸ διασόμενον	τοῦ σωμένου.

Περὶ τῆς τετάρτης συζυγίας εἰς μι.

Τετάρτη συζυγία τῶν εἰς μι, γίνεται ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων εἰς υω, ληγόντων, καὶ ἀπὸ τοῦ ἐνεργητικοῦ καὶ παθητικοῦ τὸ υ, ἔχει. οἷον ζευγνύω, ζεύγνυμι, τὸ παθητικὸν, ζεύγνυμαι. ὁ μέλλων, ζεύξω.

Ὁριστικὰ ἐνεργητικά, ἐνεστῶς. ἑνικά.

ζεύγνυμι	ζεύγνυς	ζεύγνυσι.
δ.	ζεύγνυτον	ζεύγνυτον,
π. ζεύγνυμεν	ζεύγνυτε	ζευγνύασι,

καὶ ἀπὸ τοῦ βαρυτόνου, ζευγνύουσι.

Παρατατικὸς. ἑνικά.

ἐζεύγνυν	ἐζεύγνυς	ἐζεύγνυ,
δ.	ἐζεύγνυτον	ἐζευγνύτην,
π. ἐζεύγνυμεν	ἐζεύγνυτε	ἐζεύγνυσαν.

Ἀόριστος. ἑνικά.

ἔζευξα	ἔζευξας	ἔζευξε,
δ.	ἐζεύξατον	ἐζευξάτην.

ἐὰν λῶμαι	ῷ	ῷται.
Δ. ώμεθον	ῶσθον	ῶσθον,
Π. ώμεθα	ῶσθε	ῶνται.

Απαρέμφατα παθητικὰ, καὶ μέσα. ἐνεστώς. λύεσθαι. παρακείμενος, λελύσθαι. ἀόριστος, λυθῆναι. μέλλων ά. λυθήσεσθαι. μετ' ὀλίγον μέλλων λελύσεσθαι. μέσος ἀόριστος, λύσασθαι. μέσος ἀόριστος λεύτερος λύσθαι. μέσος μέλλων πρῶτος, λύσεσθαι.

Μετοχαὶ παθητικαὶ καὶ μέσαι.

ὁ λυόμενος	τοῦ λυομένου.
ἡ λυομένη	τῆς ομένης,
τὸ λυόμενον	τοῦ ομένου.

Παρακείμενος.

ὁ λελυμένος	τοῦ ομένου,
ἡ λελυμένη	τῆς ομένης,
τὸ λελυμένον	τοῦ ομένου.

Αόριστος.

ὁ λυθεὶς	τοῦ λυθέντος.
ἡ λυθεῖσα	τῆς λυθείσης,
τὸ λυθὲν	τοῦ λυθέντος,

Μέλλων ά.

ὁ λυθησόμενος	τοῦ ησομένου,
ἡ λυθησομένη	τῆς ησομένης,
τὸ λυθησόμενον	τοῦ ησομένου.

Μετ' ὀλίγον μέλλων.

ὁ λελυσόμενος	τοῦ οσομένου.
ἡ λελυσομένη	τῆς οσομένης,
τὸ λελυσόμενον	τοῦ οσομένου.

δηλωκαίμην	ὤκαιο	ὤκαιτο
δ. καίμεθον	ὤκαισθον	καίσθην,
π. καίμεθα	ὤκαισθε	ὤκαιντο.

Μέσος ἀόριστος β΄. ἑνικά.

δηλοίμην	δηλοῖο	δηλοῖτο,
δ. οίμεθον	οῖσθον	οίσθην,
π. οίμεθα	οῖσθε	οῖντο.

Μέσος μέλλων. ἑνικά.

δηλωσοίμην	ώσοιο	ώσοιτο,
δ. ωσοίμεθον	ώσοισθον	ωσοίσθην,
π. ωσοίμεθα	ώσοισθε	ώσοιντο.

Ὑποτακτικὰ παθητικὰ καὶ μέσα ἐνεστὼς, καὶ παρατατικός. ἑνικά.

ἐὰν δηλῶμαι	δηλῶ	δηλῶται,
δ. ώμεθον	ῶσθον	ῶσθον,
π. ώμεθα	ῶσθε	ῶνται.

Παρακείμενος. ἑνικά.

ἐὰν δεδηλῶμαι	δηλῶ	ῶται,
δ. ώμεθον	ῶσθον	ῶσθον,
π. ώμεθα	ῶσθε	ῶνται.

Ἀόριστος α΄. ἑνικά.

ἐὰν δηλωθῶ	θῇς	θῇ,
δ.	θῆτον	θῆτον.
π. θῶμεν	θῆτε	θῶσι.

Μέσος ἀόριστος ἄχρηστος. ἑνικά.

ἐὰν δηλώκωμαι	ώκῃ καὶ	ώκηται,
δ. κώμεθον	ώκησθον	ώκησθον,
π. κώμεθα	ώκησθε	ώκωνται.

Μέσος ἀόριστος β΄. ἑνικά.

Μέσος ἀόριστος ἄχρηστος. ἑνικά.

δῶκαι κάσθω

δ. δώκασθον άσθων

π. ώκασθε κάσθωσαν.

Ἄχρηστος μέσος ἀόριστος β΄. ἑνικά.

δόσο οὔχρηστον, δοῦ, δόσθω.

δ. δόσθον δόσθον,

π. δόσθε δόσθωσαν.

Μέσα εὐκτικὰ παθητικά, ἐνεστώς. ἑνικά.

διδοίμην οἷο οἷτο,

δ. οίμεθον οἷσθον οἷσθον,

π. οίμεθα οἷσθε οἷντο.

Παρακείμενος, ἑνικά.

δεδοίμην οἷο οἷτο,

δ. οίμεθον οἷσθον οίσθην,

π. οίμεθα οἷσθε οἷντο.

Ἀόριστος. ἑνικά.

δοθείην είης είη,

δ. είητον ειήτην.

π. θείημεν θείητε, θείησαν, θεῖεν.

Μέλλων ά. ἑνικά.

δοθησοίμην ήσοιο ήσοιτο,

δ. σοίμεθον ήσοισθον ήσοισθον,

π. σοίμεθα ήσοισθε ήσοιντο.

Μετ᾽ ὀλίγον μέλλων. ἑνικά.

δεδοσοίμην όσοιο όσοιτο,

δ. σοίμεθον όσοισθον σοίσθην,

π. σοίμεθα όσοισθε όσοιντο.

Ἄχρηστος μέσος ἀόριστος. ἑνικά.

π. ἐδηλόμεθα ἐδήλοσθε ἐδήλοντο.

Μετ' ὀλίγον μέλλων. ἑνικά.

δεδηλόσομαι	δεδηλόσῃ ἔαι	όσεται,
δ. σόμεθον	όσεσθον	όσεσθον.
π. σόμεθα	όσεσθε	όσονται.

Μέλλων. ἑνικά.

δηλωθήσομαι	ήσῃ ἔαι	ήσεται.
δ. όμεθον	ήσεσθον	ήσεσθον.
π. σόμεθα	ήσεσθε	ήσονται.

Μέσος ἀόριστος α. ἄχρηστος. ἑνικά.

ἐδηλωσάμην	ώσω	ώσατο,
δ. άμεθον	όσασθον	άσθην.
π. άμεθα	ώσασθε	ώσαντο.

Μέσος μέλλων. ἑνικά.

δηλώσομαι	ώσῃ ἔαι	ώσεται,
δ. σόμεθον	ώσεσθον	ώσεσθον.
π. σόμεθα	ώσεσθε	ώσονται.

Μέσα προστακτικὰ παθητικὰ ἐνεστῶς. ἑνικά.

δηλόου,	δήλου	δηλόσθω.
δ.	δήλοσθον	δηλόσθον.
π.	δήλωσθε	δηλόσθωσαν.

Παρακείμενος. ἑνικά.

	δέδηλωσο	όσθω.
δ.	δέδηλωσθον	όσθων,
π.	δέδηλωσθε	όσθωσαν.

Ἀόριστος α. ἑνικά.

	δηλώθητι	θήτω,
δ.	όθητον	θήτων,
π.	όθητε	ήτωσαν.

δ. κῆτον κῆτον,
π. κῶμεν κῆτε κῶσι.

Αόριστος α'. ἑνικά.

ἐὰν δώκω ὤκῃς ὤκῃ,
δ. ὤκητον ὤκητον,
π. δώκωμεν ὤκητε κωσι.

Αόριστος β'. ἑνικά.

ἐὰν δῶ δῷς δῷ,
δ. δῶτον δῶτον,
π. δῶμεν δῶτε δῶσι.

Απαρέμφατα ἐνεργητικά. ἐνεστώς.

διδόναι. παρακείμενος, δεδωκέναι. ἀόριστος α'. δῶκαι. ἀόριστος β'. δοῦναι. μέλλων, δώσειν

Μετοχαὶ ἐνεργητικαὶ ἐνεστὼς, καὶ παρατατικός.

ὁ διδοὺς τοῦ διδόντος,
ἡ διδοῦσα τῆς διδούσης,
τὸ διδοῦν, δὸν τοῦ διδόντος.

Παρακείμενος.

ὁ δεδωκὼς τοῦ κότος,
ἡ δεδωκυῖα τῆς κυίας,
τὸ δεδωκὸς τοῦ κότος.

Αόριστος α'.

ὁ δώκας τοῦ δώκαντος,
ἡ δώκασα τῆς δωκάσης.
τὸ δῶκαν τοῦ δώκαντος.

Αόριστος β'.

ὁ δοὺς τοῦ δόντος,
ἡ δοῦσα τῆς δούσης,
τὸ δοῦν, δὸν τοῦ δόντος.

δ. οἴητον οἰήτην,

π. οἴημεν, οἴητε, οἴησαν, καὶ δηλοῖεν.

Παρακείμενος. ἑνικά.

δεδηλώκοιμι ὤκοις ὤκοι.

δ. ὤκοιτον ωκοίτην.

π. ὤκοιμεν ὤκοιτε ὤκοιεν.

Ἀόριστος ά, ἑνικά.

δηλώκαιμι ὤκαις ὤκαι.

δ. δηλώκαιτον ωκαίτην.

π. ὤκαιμεν ὤκαιτε ὤκαιεν.

Ἀόριστος β΄. ἑνικά.

δοίην δοίης δοίη,

δ. δοίητον δοιήτην,

π. δοίημεν δοίητε, οἴησαν, δοῖεν.

Καὶ ποιητικῶς.

δηλῴην δηλῴης δηλῴη,

δ. δηλῴητον δηλῳήτην,

π. δηλῴημεν δηλῴητε δηλῴησαν.

Μέλλων. ἑνικά.

δηλώσοιμι ὤσοις ὤσοι,

δ. ὤσοιτον ωσοίτην,

π. ὤσοιμεν ὤσοιτε ὤσοιεν,

Ὑποτακτικὰ ἐνεργητικά, ἐνεστώς, καὶ παρατατικός. ἑνικά.

ἐὰν δηλῶ δηλῷς δηλῷ.

δ. δηλῶτον δηλῶτον,

π. δηλῶμεν ῶτε ῶσι.

Παρακείμενος. ἑνικά.

ἐὰν δεδηλώκω δεδηλώκῃς δεδηλώκῃ.

Ἀόριστος β΄. ἑνικά.

ἔδων	ἔδως	ἔδω,
δ.	ἔδωτον	ἐδώτην,
π. ἔδωμεν	ἔδωτε	ἔδωσαν.

Μέλλων. ἑνικά.

δώσω	δώσεις	δώσει,
δ.	δώσετον	δώσετον.

π. δώσομεν, ώσετε, ώσουσι, ἐ ποιητικῶς δωώσω, καὶ τρίτον πληθυντικῶν δώκοσι.

Προστακτικὰ ἐνεργητικά, ἐνεστώς, καὶ παρατατικός. ἑνικά.

	δίδοθι	δότω,
δ.	δίδοτον	δότων,
π.	δίδοτε	δότωσαν.

Παρακείμενος. ἑνικά.

	δέδωκε	ωκέτω,
δ.	ώκετον	ωκέτων,
π.	δεδώκετε	δεδωκέτωσαν.

Ἀόριστος α΄. ἑνικά.

	δῶκον	κάτω,
δ.	ώκατον	κάτων,
π.	ώκατε	κάτωσαν

Ἀόριστος β΄. ἑνικά.

	δόθι, ἢ δός,	δότω,
δ.	ότων	ότων.
π.	ότε	ότωσαν.

Εὐκτικὰ ἐνεργητικά, ἐνεστώς, καὶ παρατατικός. ἑνικά.

διδοίην	διδοίης	διδοίη,

ἡ στησομένη τῆς στησομένης.
τὸ στησόμενον τῷ στησομένῳ.

Περὶ τῆς τρίτης συζυγίας τῶν εἰς μι.

Τρίτη συζυγία τῶν εἰς μι, γίνεται ἀπὸ τῆς τρίτης τῶν περισπωμένων, καὶ ἐπὶ τοῦ ἐνεργητικοῦ ἐν τῇ παραληγούσῃ τὸ ω, ἔχει, ἐπὶ δὲ τοῦ παθητικοῦ τὸ ο μικρόν. οἷον διδόω, διδῶ, δίδωμι. τὸ παθητικὸν δίδομαι. ὁ μέλλων, δώσω.

Ὁριστικὰ ἐνεργητικά, ἐνεστώς, ἑνικά.

δίδωμι	δίδως	δίδωσι,
δ.	δίδοτον	δίδοτον,
π. δίδομεν	δίδοτε	διδοῦσι,
καὶ ἰωνικῶς	διδόασι.	

Παρακείμενος, ἑνικά.

ἐδίδων	ἐδίδως	ἐδίδω,
δ.	ἐδίδοτον	ότην.
π. ἐδίδομεν	ἐδίδοτε	ἐδίδοσαν.

Παρακείμενος. ἑνικά.

δέδωκα	δέδωκας	δέδωκε,
δ.	δεδώκατον	δεδώκατον,
π. δεδώκαμεν	ώκατε	ώκασι.

Ὑπερσυντέλικος. ἑνικά.

ἐδεδώκειν	ώκεις	ώκει,
δ.	ώκειτον	ωκείτην,
π. ώκειμεν	ώκειτε	ώκεισαν.

Ἀόριστος ά, ἑνικά.

ἔδωκα	ἔδωκας	ἔδωκε,
δ.	ἐδώκατον	κάτην.
π. ώκαμεν	ώκατε	ἔδωκαν.

σταθαι. μέσος ἀόριστος πρῶτος, ἑστάσθαι. μέσος μέλλων ά. ἑστάσθαι.

Μετοχαὶ παθητικαὶ καὶ μέσαι. ἐνεστώς.

ὁ ἱστάμενος	τοῦ ἱσταμένου.
ἡ ἱσταμένη	τῆς ἱσταμένης.
τὸ ἱστάμενον	τοῦ ἱσταμένου.

Παρακείμενος.

ὁ ἑσταμένος	τοῦ ἑσταμένου,
ἡ ἑσταμένη	τῆς ἑσταμένης,
τὸ ἑσταμένον	τοῦ ἑσταμένου.

Αόριστος ά.

ὁ σταθείς	τοῦ σταθέντος.
ἡ σταθεῖσα	τῆς σταθείσης.
τὸ σταθέν	τοῦ σταθέντος.

Μέλλων.

ὁ σταθησόμενος	τοῦ σταθησομένου,
ἡ σταθησομένη	τῆς σταθησομένης,
τὸ σταθησόμενον	τοῦ σταθησομένου.

Μετ' ὀλίγον μέλλων.

ὁ ἑστασόμενος	τοῦ ἑστασομένου.
ἡ ἑστασομένη	τῆς ἑστασομένης,
τὸ ἑστασόμενον	τοῦ ἑστασομένου.

Μέσος ἀόριστος ά.

ὁ στησάμενος	τοῦ στησαμένου,
ἡ στησαμένη	τῆς στησαμένης,
τὸ στησάμενον	τοῦ στησαμένου.

Μέσος μέλλων. ά.

ὁ στησόμενος	τοῦ στησομένου.

π. σαίμεθα	ἧσθε	ἧσαιντο.

Μέσος μέλλων ά. ἑνικά.

στησοίμην	ήσοιο	ήσοιτο,
δ. σοίμεθον	ήσοισθον	ησοίσθην,
π. σοίμεθα	ήσοισθε	ήσοιντο.

Μέλλων ά. ἑνικά.

σταθησοίμην	ήσοιο	ήσοιτο,
δ. σοίμεθον	ήσοισθον	ησοίσθην
π. σοίμεθα	ήσοισθε	ήσοιντο.

Ὑποτακτικὰ παθητικὰ καὶ μέσα, ἐνεστὼς. ἑνικά.

ἐὰν ἱστῶμαι, ἱστᾶ, ἱστῆ, ῆαι, ἱστῆται, ᾶται. δ. ἱστώμεθον, ἱστῆσθον, ᾶσθον, ἱστῆσθον, ᾶσθον. π. ἱστώμεθα, ἱστῆσθε, ᾶσθε, ῶνται.

Παρακείμενος. ἑνικά.

ἐὰν ἑστῶμαι	ἑστᾶ	ᾶαι	ᾶται,
δ. ἑστώμεθον	ᾶσθον		ᾶσθον
π. ἑστώμεθα	ᾶσθε		ῶνται.

Ἀόριστος ά. ἑνικά.

ἐὰν σταθῶ	σταθῇς	θῆ.
δ.	ῆτον	ῆτον,
π. ῶμεν	ῆτε	ῶσι.

Μέσος ἀόριστος ά. ἑνικά.

ἐὰν στήσωμαι	ήσῃ	ηαι	ήσηται,
δ. ώμεθον	ήσησθον		ήσησθον,
π. ώμεθα	ήσησθε		ήσωνται.

Ἀπαρέμφατα παθητικὰ, καὶ μέσα. ἐνεστὼς.

ἵστασθαι. παρακείμενος, ἑστᾶσθαι. ἀόριστος ά. σταθῆναι. μέλλων ά. ἱστάσεσθαι. μετ᾽ ὀλίγον μέλλων σταθή-

δ. ἕστασθον ἄσθων,
π. ἕστασθε ἄσθωσαν.

Ἀόριστος ά. ἐνικά.

σάθητι θήτω,
δ. σάθητον θήτων.
π. σάθητε θήτωσαν.

Μέσος ἀόριστος πρῶτος. ἐνικά.

στῆσαι ἄσθω,
δ. ἥσασθον ἄσθων,
π. ἥσασθε ἄσθωσαν.

Εὐκτικὰ παθητικὰ, ἐν μέσα, ἐνεστὼς. ἐνικά.

ἱσταίμην ἱσταῖο ἱσταῖτο,
δ. ἱσταίμεθον ἱσταῖσθον ἱσταίσθην.
π. ἱσταίμεθα ἱσταῖσθε ἱσταῖντο.

Παρακείμενος. ἐνικά.

ἑσταίμην ἑσταῖο ἑσταῖτο.
δ. ἑσταίμεθον ἑσταῖσθων ἑσταίσθην,
π. ἑσταίμεθα ἑσταῖσθε ἑσταῖντο.

Ἀόριστος πρῶτος. ἐνικά.

σαθείην εἴης εἴη,
δ. εἴητον εἰήτην,
π. εἴημεν εἴητε εἴησαν.

Μετ᾽ ὀλίγον μέλλων. ἐνικά.

ἑστασοίμην ἄσοιο ἄσοιτο,
δ. σοίμεθον ἄσοισθον σοίσθην,
π. σοίμεθα ἄσοισθε ἄσοιντο.

Μέσος ἀόριστος ά. ἐνικά.

στησαίμην στήσαιο στήσαιτο.
π. στησαίμεθον στήσαισθον στησαίσθην,

Ὑπερσυντέλικος. ἑνικά.

ἑστάμην	ἕστασο	ἕστατο,
δ. ἑστάμεθον	ἕστατον	ἑστάτην,
π. άμεθα	ἕστατε	ἕσταντο.

Ἀόριστος α΄. ἑνικά.

ἐστάθην	άθης	άθη,
δ.	άθητον	ήτην,
π. άθημεν	άθητε	άθησαν.

Μετ᾽ ὀλίγον μέλλων. ἑνικά.

ἑστάσομαι	άσῃ εαι	άσεται,
δ. ἑστασόμεθον	άσεσθον	σεσθον,
π. σόμεθα	άσεσθε	ασονται.

Μέλλων α΄. ἑνικά.

σταθήσομαι	ήσῃ εαι	ήσεται,
δ. σόμεθον	ήσεσθον,	ήσεσθον,
π. σόμεθα	ήσεσθε	ήσονται.

Μέσος ἀόριστος πρῶτος. ἑνικά.

ἐστησάμην, ήσω, σω, ήσατο. δ. σάμεθον, ήσασθον, σάσθην. π. σάμεθα, ήσασθε, ήσαντο.

Μέσος μέλλων. ἑνικά.

στήσομαι	στήσῃ εαι	στήσεται.
δ. όμεθον	ήσεσθον	ήσεσθον.
π. όμεθα	ήσεσθε	ήσονται.

Προστακτικά, παθητικά καὶ μέσα, ἐνεστώς, ἑνικά,

ἵστασο	ἵστω	άσθω,
δ.	ἵστασθον	άσθων,
π.	ἵστασθε	άσθωσαν.

Παρακείμενος. ἑνικά.

	ἕστασο	άσθω,
		δ. ἕστασθον

τὸ ἱςὰν | τοῦ ἱςάντος.

Παρακείμενος.

ὁ ἑςακὼς	τοῦ ἑςακότος,
ἡ ἑςακῦια	τῆς κυίας,
τὸ ἑςακὸς	τοῦ κότος.

Ἀόριστος ά.

ὁ ςήσας	τοῦ ςήσαντος,
ἡ ςήσασα	τῆς σάσης.
τὸ ςῆσαν	τοῦ ςήσαντος.

Ἀόριστος. β'.

ὁ ςὰς	τοῦ ςάντος.
ἡ ςᾶσα	τῆς ςάσης,
τὸ ςὰν	τοῦ ςάντος.

Μέλλων ά.

ὁ ςήσων	τοῦ ςήσοντος,
ἡ ςήσουσα	τῆς ςησούσης,
τὸ ςῆσον	τοῦ ςήσοντος.

Ὁριστικὰ παθητικὰ καὶ μέσα, ἐνεςὼς ἑνικά.

ἵςαμαι	ἵςασαι ἵςῃ	ἵςαται.
δ. ἱςάμεθον	ἵςασθον	ἵςασθον,
π. ἱςάμεθα	ἵςασθε	ἵςανται.

Μέσος παρατατικὸς. ἑνικά.

ἱςάμην	ἵςασο ἵςω	ἵςατο,
δ. ἱςάμεθον	ἵςασθον	ἱςάσθην.
π. ἱςάμεθα	ἵςασθε	ἵςαντο.

Παρακείμενος. ἑνικά.

ἕςαμαι	ἕςασαι	ἕςαται,
δ. ἑςάμεθον	ἕςασθον	ἕςασθον,
π. ἑςάμεθα	ἕςασθε	ἕςανται.

σταίην σταίης σταίη,
δ. σταίητον ήτην,
π. σταίημεν σταίητε, σταίησαν, καὶ σταῖεν.

Μέλλων. ἑνικά.

στήσοιμι στήσοις στήσοι,
δ. στήσοιτον οίτην.
π. στήσοιμεν στήσοιτε στήσοιεν.

Ὑποτακτικὰ ἐνεργητικὰ, ἐνεστὼς. ἑνικά.

ἐὰν ἱστῶ ἱστᾷς ἱστᾷ,
δ. ἱστᾶτον ἱστᾶτον,
π. ἱστῶμεν ἱστᾶτε ἱστῶσι.

Παρακείμενος. ἑνικά.

ἐὰν ἑστήκω, ἄκω, ἑστήκῃς, ἄκῃς, ἑστήκῃ, ἄκῃ. δ. ἑστήκητον, ἄκητον, ἑστήκητον, ἄκητον. π. ἑστήκωμεν, ἄκωμεν, ἑστήκητε, ἄκητε, ἑστήκωσι, ἄκωσι.

Ἀόριστος α΄. ἑνικά.

ἐὰν στήσω στήσῃς στήσῃ.
δ. στήσητον στήσητον.
π. στήσωμεν στήσητε στήσωσι.

Ἀόριστος β΄. ἑνικά.

ἐὰν στῶ στῇς στᾷς στῇ στᾷ.
δ. στῆτον ᾶτον ῆτον ᾶτον.
π. στῶμεν, καὶ ἰωνικῶς, στέωμεν, στῆτε, ᾶτε, ῶσι.

Ἀπαρέμφατα ἐνεργητικά. ἐνεστώς.

ἱστάναι. παρακείμενος, ἑστακέναι. ἀόριστος α΄. στῆσαι. ἀόριστος β΄. στῆναι. μέλλων α΄. στήσειν.

Μετοχαὶ ἐνεργητικαὶ. ἐνεστώς.

ὁ ἱστὰς τοῦ ἱστάντος.
ἡ ἱστᾶσα τῆς ἱστάσης.

Παρακείμενος, ἑνικά.

	ἕστακε	κέτω,
δ.	άκετον	κέτων
π.	άκετε	κέτωσαν.

Αόριστος ά, ἑνικά.

	στῆσον	σάτω,
δ.	ήσατον	σάτων,
π.	ήσατε	σάτωσαν.

Αόριστος β'. ἑνικά.

	στᾶθι, στῆθι,	στάτω, στήτω.
δ.	στάτον	στάτων.
π.	στᾶτε	άτωσαν.

Εὐκτικὰ ἐνεργητικά, ἐνεστῶς, ἑνικά.

ἱσταίην	αίης	αίη,
δ.	αίητον	ήτην.
π. αίημεν	αίητε, αῖεν,	αίησαν.

Παρακείμενος. ἑνικά.

ἑστάκοιμι	άκοις	άκοι.
δ.	άκοιτον	κοίτην,
π. άκοιμεν	άκοιτε	άκοιεν.

Αόριστος ά. ἑνικά.

στήσαιμι	ήσαις	ήσαι,
δ.	ήσαιτον	αίτην,
π. στήσαιμεν	ήσαιτε	ήσαιεν.

Καὶ αἰολικῶς.

στήσεια	στήσειας	στήσειε.

Ἀττικῶς.

στήσειαν ὅτι ἐκλείπει τὰ λοιπά.

Αόριστος β'. ἑνικά.

π. ἵσταμεν	ἵστατε	ἱστᾶσιν.

Παρακείμενος. ἑνικά.

ἕστηκα, ἧκα, ἕστηκας, ἧκας, ἕστηκε, ἧκε. δ. ἑστήκατον, ἥκατον, ἑστήκατον, ἥκατον. π. ἑστήκαμεν, ἥκαμεν, ἑστήκατε, ἥκατε, ἑστήκασι, ἥκασι. καὶ συγκοπτικῶς ἕστηχα, χας, χε.

δ.	ἑστήχατον	τον,
π. ἑστήχαμεν	ἑστήχατε	ἤχασι.

ἀπὸ τοῦ ἵστημι. παρακείμενος δὲ, ἕστηκα, ἔνθεν ἑστήκω. μέλλων, ἑστήξω ὡς Καλλιμάχου ἐξηγητής.

Υπερσυντέλικος. ἑνικά.

ἑστάκειν, ἥκειν, ἑστάκεις, ἥκεις, ἑστάκει, ἥκει. δ. ἑστάκειτον, ἥκειτον, ἑστακείτην, ἡκείτην. π. ἑστάκειμεν, ἥκειμεν, ἑστάκειτε, ἥκειτε, ἑστάκεισαν, ἥκεισαν.

Αόριστος ά, ἑνικά.

ἔστησα, ἔστησας, ἔστησε. δ. ἑστήσατον, ἑστησάτην. π. ἑστήσαμεν, ἑστήσατε, ἔστησαν.

Αόριστος Β΄. ἑνικά.

ἔστην	ἔστης	ἔστη
δ.	ἔστητον	ήτην.
π. ἔστημεν	ἔστητε	ἔστησαν

Μέλλων. ἑνικά.

στήσω	ήσεις	ήσει.
δ.	ήσετον	ήσετον.
π. στήσομεν	ήσετε	ήσουσι.

Προστακτικὰ ἐνεργητικά, ἐνεστώς. ἑνικά.

	ἵσταθι	άτω.
δ.	ἵστατον	άτων.
π.	ἵστατε	άτωσαν.

Μετ' ὀλίγον μέλλων. ἑνικά.

ὁ τεθεσόμενος	τοῦ σομένου,
ἡ τεθεσομένη	τῆς σομένης.
τὸ τεθεσόμενον	τοῦ σομένου.

Μέσος ἀόριστος β'.

ὁ θέμενος	τοῦ θεμένου.
ἡ θεμένη	τῆς θεμένης.
τὸ θέμενον	τοῦ θεμένου.

Μέσος ἀόριστος ἄχρηστος.

ὁ θηκάμενος	τοῦ καμένου.
ἡ θηκαμένη	τῆς καμένης,
τὸ θηκάμενον	τοῦ καμένου.

Μέσος μέλλων.

ὁ θησόμενος	τοῦ σομένου,
ἡ θησομένη	τῆς σομένης,
τὸ θησόμενον	τοῦ σομένου.

Περὶ τῆς β'. συζυγίας τῶν εἰς μι.

Δευτέρα συζυγία τῶν εἰς μι, γίνεται ἀπὸ τῆς β'. τῶν περισπωμένων. καὶ ἐπὶ τοῦ ἐνεργητικοῦ ἐν τῇ παραληγούσῃ τὸ η, ἔχει. ἐπὶ τοῦ παθητικοῦ δὲ, τὸ α. οἷον, ἱστάω, ἱστῶ, ἵστημι. τὸ παθητικὸν ἵσταμαι. ὁ μέλλων, στήσω.

Ὁριστικὸν ἐνεργητικὸν, ἐνεστὼς ἑνικά.

ἵστημι	ἵστης	ἵστησι,
δ.	ἵστατον	ἵστατον,

π. ἵσταμεν, ἵστατε, ἵστασι. καὶ ἱστάασι, καὶ ἱστᾶσι.

Παρατατικός. ἑνικά.

ἵστην	ἵστης	ἵστη.
δ.	ἵστατον	ἱστάτην.

Μέσος ἀόριστος ά. ἑνικά.

ἐὰν θήκωμαι	ήκη	ηκηται,
δ. κώμεθον	ήκησθον	ήκησθον,
π. κώμεθα	ήκησθε	ήκωνται.

Μέσος ἀόριστος β΄. ἑνικά.

ἐὰν θῶμαι	θῇ	θῆται,
δ. ώμεθον	ῆσθον	ῆσθον,
π. ώμεθα	ῆσθε	ῶνται.

Απαρέμφατα, παθητικὰ καὶ μέσα. ἐνεστώς. τίθεσθαι. παρακεί. τεθεῖσθαι. ἀόριστος ά. τεθῆναι, μετ᾽ ὀλίγον μέλλων τεθείσεσθαι. μέλλων ά. τεθήσεσθαι. μέσος ἀόριστος ά. θήκασθαι ἄχρηστος. μέσος ἀόριστος β΄. θέσθαι. μέσος μέλλων ά. θήσεσθαι.

Μετοχαὶ παθητικαὶ, καὶ μέσαι. ἐνεστώς.

ὁ τιθέμενος	τοῦ τιθεμένου,
ἡ τιθεμένη	τῆς τιθεμένης,
τὸ τιθέμενον	τοῦ τιθεμένου.

Παρακείμενος.

ὁ τεθειμένος	τοῦ τεθειμένου.
ἡ τεθειμένη	τῆς τεθειμένης.
τὸ τεθειμένον	τοῦ τεθειμένου.

Αόριστος ά.

ὁ τεθείς	τοῦ θέντος.
ἡ τεθεῖσα	τῆς θείσας.
τὸ τεθέν	τοῦ θέντος.

Μέλλων ά.

ὁ τεθησόμενος	τοῦ σομένου.
ἡ τεθησομένη	τῆς σομένης,
τὸ τεθησόμενον	τοῦ σομένου.

π. οἵμεθα	ἧσθε	ἧσοιντο.
	Μετ' ὀλίγον μέλλων. ἑνικά.	
τεθήσοίμην	εἴσοιο	εἴσοιτο,
δ. οἵμεθον	οἴσοισθον	οἴσθην.
π. οἵμεθα	εἴσοισθε	εἴσοιντο.
	Αὔριστος ἀόριστος. ἑνικά.	
θηκαίμην	ἧκαιο	ἧκαιτο
δ. καίμεθον	ἧκαισθον	καίσθην
π. καίμεθα	ἧκαισθε	ἧκαιντο.
	Μέσος ἀόριστος ά. ἑνικά	
θείμην	θεῖο	θεῖτο,
δ. είμεθον	εἶσθον	εἶσθον,
π. είμεθα	εἶσθε	εἶντο.
	Μέσος μέλλων. ἑνικά.	
θησοίμην	ἧσοιο	ἧσοιτο
δ. οἵμεθον	ἧσοισθον	οἴσθην,
π. οἵμεθα	ἧσοισθε	ἧσοιντο.
	Υποτακτικὰ παθητικὰ καὶ μέσα. ἑνικά.	
ἐὰν τιθῶμαι	τιθῇ ἔαι	ἦται
δ. ὤμεθον	ἦσθον	ἦσθον.
π. ὤμεθα	ἦσθε	ὦνται.
	Παρακείμενος. ἑνικά.	
ἐὰν τεθῶμαι	θῇ ἔαι	ἦται,
δ. ὤμεθον	ἦσθον	ἦσθον
π. ὤμεθα	ἦσθε	ὦνται.
	Αόριστος ά. ἑνικά.	
ἐὰν τεθῶ	θῇς	θῇ,
δ.	ἦτον	ἦτον
π. ὦμεν	ἦτε	ὦσι.

π.	τέθεσθε	εἴσθωσαν.

Ἀόριστος ά. ἑνικά.

	τέθητι	τεθήτω
δ.	τέθητον	τεθήτων
π.	τέθητε	τεθήτωσαν.

Μέσος ἀόριστος β΄. ἑνικά.

θέσο, θοῦ, θέο, θέσθω,

δ.	θέσθον	θέσθων.
π.	θέσθε	θέσθωσαν.

Μέσος ἀόριστος β΄. ἑνικά.

	θῆκαι	κάσθω,
δ.	θήκασθον	κάσθων,
π.	θήκασθε	κάσθωσαν.

Εὐκτικὰ παθητικὰ καὶ μέσα, ἐνεστὼς,

καὶ παρατατικός. ἑνικά.

τιθείμην	τιθεῖο	τιθεῖτο.
δ. τιθείμεθον	εἶσθον	είσθην.
π. τιθείμεθα	εἶσθε	εἶντο,

Παρακείμενος, ἑνικά.

τεθείμην	εἶο	εἶτο.
δ. είμεθον	εἶσθον	είσθην,
π. είμεθα	εἶσθε	εἶντο.

Ἀόριστος ά, ἑνικά.

τεθείην	είης	είη,
δ.	είητον	ειήτην.
π. είημεν	είητε	είησαν,

Μέλλων ά. ἑνικά.

τεθησοίμην	ήσοιο	ήσοιτο,
δ. τεθησοίμεθον	ήσοισθον	οίσθην.

δ	ἐτέθητον	ἤτην,
π. ἐτέθημεν	ἐτέθητε	ἐτέθησαν.

Μέσος ἀόριστος α΄. ἑνικά.

ἐθηκάμην	ἐθήκω οο	ἐθήκατο,
δ. ἐθηκάμεθον	ἤκασθον	κάσθην,
π. ἐθηκάμεθα	ἤκασθε	ἤκαντο.

Μέσος ἀόριστος β΄. ἑνικά.

ἐθέμην	ἔθεσο, καὶ ἔθου	ἔθετο.
δ. ἐθέμεθον	ἔθεσθον	ἐθέσθην,
π. ἐθέμεθα	ἔθεσθε	ἔθεντο.

Μέλλων. ἑνικά.

τεθήσομαι,	τεθήσῃ, εαι,	τεθήσεται.
δ. τεθησόμεθον	τεθήσεσθον	τεθήσεσθον.
π. τεθησόμεθα	τεθήσεσθε	τεθήσονται.

Μετ' ὀλίγον μέλλων. ἑνικά.

τεθείσομαι	τεθείσῃ	είσεται.
δ. σόμεθον	είσεσθον	είσεσθον,
π. σόμεθα	είσεσθε	είσονται.

Μέσος μέλλων. ἑνικά.

θήσομαι	θήσῃ εαι	ήσεται,
δ. σόμεθον	ήσεσθον	ήσεσθον.
π. σόμεθα	ήσεσθε	ήσονται.

Μέσα προστακτικὰ παθητικά, ἐνεστὼς. ἑνικά.

τίθεσο	τίθου	τιθέσθω,
δ.	τίθεσθον	τιθέσθων,
π.	τίθεσθε	τιθέσθωσαν.

Παρακείμενος. ἑνικά.

	τέθεισο	τεθείσθω,
δ.	τέθεισθον	είσθων.

ἡ θεῖσα τῆς θείσης.
τὸ θὲν τοῦ θέντος.

Μέλλων.

ὁ θήσων τοῦ θήσοντος,
ἡ θήσουσα τῆς θησούσης.
τὸ θῆσον τοῦ θήσοντος..

Επίλογος αὐτοῦ, γνεσῶς.

τίθημι. μέλλων, θήσω. παρακείμενος, τέθεικα, παρατατικὸς, ἐτίθην. ἀόριστος ά. ἔθηκα. ἀόριστος β΄. ἔθην. ὑποσυντέλικος. ἐτεθείκειν.

Οριστικὰ παθητικὰ, καὶ μέσα, γνεσῶς, ἑνικά.

τίθεμαι	τίθεσαι	καὶ ιωνικῶς,
	τίθη εαι	τίθεται,
δ. τιθέμεθον	τίθεσθον	τίθεσθον,
π. τιθέμεθα	τίθεσθε	τίθενται.

Μέσος παρατατικὸς. ἑνικά.

ἐτιθέμην, ἐτίθεσο, ἐτίθου,		ἐτίθετο,
δ. ἐτιθέμεθον	ίθεσθον	θέσθην.
π. ἐτιθέμεθα	ἐτίθεσθε	ἐτίθεντο.

Παρακείμενος. ἑνικά.

τέθειμαι	τέθεισαι	τέθειται.
δ. τεθείμεθον	τέθεισθον	τέθεισθον.
π. τεθείμεθα	τέθεισθε	τέθεινται.

Υποσυντέλικος. ἑνικά.

ἐτεθείμην	ἐτέθεισο	ἐτέθειτο.
δ. ἐτεθείμεθον	ἐτέθεισθον	ἐτεθείσθην,
π. ἐτεθείμεθα	ἐτέθεισθε	ἐτέθειντο.

Αόριστος ά, ἑνικά.

ἐτίθην	ἐτέθης	ἐτέθη.

Παρακείμενος. ἑνικά.

ἐὰν τεθείκω	εἴκῃς	εἴκῃ
δ.	εἴκητον	εἴκητον,
π. εἴκωμεν	εἴκητε	εἴκωσι.

Αόριστος πρῶτος. ἑνικά.

ἐὰν θήκω	ήκῃς	ήκῃ,
δ.	ήκητον	ήκητον,
π. ήκωμεν	ήκητε	ήκωσι.

Αόριστος ά, ἑνικά.

ἐὰν θῶ	θῇς	θῇ.
δ.	θῆτον	θῆτον.
π. ὦμεν	ἦτε	ὦσιν.

Απαρέμφατα ἐνεργητικά. ἐνεστώς.

τιθέναι. παρακείμενος, τεθεικέναι. ἀόριστος ά. θῆκαι. ἀόριστος β΄. θεῖναι, ἢ θῆναι. μέλλων θήσειν.

Μετοχαὶ ἐνεργητικαί. ἐνεστώς.

ὁ τιθεὶς	τοῦ τιθέντος,
ἡ τιθεῖσα	τῆς τιθείσης.
τὸ τιθὲν	τοῦ τιθέντος.

Παρακείμενος.

ὁ τεθεικὼς	τοῦ κότος.
ἡ τεθεικυῖα	τῆς κυίας.
τὸ τεθεικὸς	τοῦ κότος.

Αόριστος ά.

ὁ θήκας	τοῦ θήκαντος.
ἡ θήκασα	τῆς θηκάσης.
τὸ θῆκαν	τοῦ θήκαντος.

Αόριστος. β΄.

ὁ θεὶς	τοῦ θέντος.

Ἀόριστος α΄. ἑνικά.

	θέτι ἢ θὲς	θέτω.
δ.	θέτον	θέτων,
π.	θέτε	θέτωσαν.

Εὐκτικὰ ἐνεργητικὰ ἐνεστῶτος, ἑνικά.

τιθείην	τιθείης	τιθείη,
δ.	τιθείητον	τιθειήτην,
τιθείημεν	είητε	είησαν.
ἢ τιθεῖμεν.	ἢ τιθεῖτε.	

Παρακείμενος. ἑνικά.

τεθείκοιμι	τεθείκοις	είκοι,
δ.	είκοιτον	εικοίτην,
π. τεθείκοιμεν	είκοιτε	είκοιεν

Ἀόριστος πρῶτος. ἑνικά.

θήκαιμι	θήκαις	ήκαι,
δ.	θήκαιτον	θηκαίτην,
π. θήκαιμεν	θήκαιτε	θήκαιεν.

Ἀόριστος β΄, ἑνικά.

θείην	είης	είη,
δ.	είητον	ειήτην,
π. είημεν	είητε	είησαν, ἢ θεῖεν.

Μέλλων α΄. ἑνικά.

θήσοιμι	ήσοις	ήσοι.
δ.	ήσοιτον	οίτην,
π. ήσοιμεν	ήσοιτε	ήσοιεν.

Ὑποτακτικὰ ἐνεργητικά, ἐνεστῶτος. ἑνικά.

ἐὰν τιθῶ	θῇς	θῇ.
δ.	ῆτον	ῆτον,
π. τιθῶμεν	ῆτε	ῶσι.

Ὑπερσυντέλικος. ἑνικά.

ἐτεθείκειν	ἐτεθείκεις	ἐτεθείκει,
δ.	ἐτεθείκειτον	κείτην,
π. ἐτεθείκειμεν	είκειτε	είκεισαν.

Ἀόριστος ά. ἑνικά.

ἔθηκα	ἔθηκας	ἔθηκε.
δ.	ἐθήκατον	ἐθηκάτην.
π. ἐθήκαμεν	ἐθήκατε	ἔθηκαν.

Ἀόριστος β΄. ἑνικά.

ἔθην	ἔθης	ἔθη,
δ.	ἔθετον	ἐτην.
π. ἔθεμεν	ἔθετε	ἔθεσαν.

Μέλλων. ἑνικά.

θήσω	θήσεις	θήσει.
δ.	θήσετον	ήσετον.
π. θήσομεν	ήσετε	ήσουσι.

Προστακτικὰ ἐνεργητικά, ἐνεστὼς,
καὶ παρατατικός. ἑνικά.

	τίθετι	τιθέτω,
δ.	τίθετον	έτων.
π.	τίθετε	έτωσαν.

Παρακείμενος. ἑνικά.

	τέθεικε	κέτω.
δ.	είκετον	κέτων,
π.	είκετε	κέτωσαν.

Ἀόριστος ά. ἑνικά.

	θῆκον	κάτω.
δ.	θήκατον	κάτων,
π.	θήκατε	κάτωσαν.

ὁ χρυσωσάμενος	τοῦ σαμένου.
ἡ χρυσωσαμένη	τῆς σαμένης.
τὸ χρυσωσάμενον	τοῦ σωσαμένου.

Μέσος μέλλων, ά.

ὁ χρυσωσόμενος	τοῦ σομένου,
ἡ χρυσωσομένη	τῆς σομένης,
τὸ χρυσωσόμενον	τοῦ σομένου.

ω	οι	ου	ου	ου	οι	οι
οω	οει	οε	οο	οου	οη	οοι

Περὶ τῶν εἰς μι, ῥημάτων.

Τὰ εἰς μι, ῥήματα ἀπὸ τῶν περισπωμένων ῥημάτων, καὶ ἔκτης τῶν βαρυτόνων γίνονται. ὧν ἡ πρώτη ἀπὸ τῆς πρώτης γίνεται, καὶ ἀπὸ τοῦ ἐνεργητικοῦ, τὸ η, ἐν τῇ παραληγούσῃ ἔχει. ἀπὸ τοῦ παθητικοῦ δὲ τὸ ε. οἷον, τιθέω, τιθῶ, τίθημι. τὸ παθητικὸν τίθεμαι. ὁ μέλλων, θήσω.

Ὁριστικὸν ἐνεργητικὸν, ἐνεστὼς, ἑνικά.

τίθημι	τίθης	τίθησι.
δ.	τίθετον	τίθετον,
π. τίθεμεν	τίθετε	τιθεῖσι,
καὶ	ἰωνικῶς	τιθέασι.

Παρατατικός. ἑνικά.

ἐτίθην	ἐτίθης.	ἐτίθη,
δ.	ἐτίθετον	ἐτιθέτην.
π. ἐτίθεμεν	ἐτίθετε	ἐτίθεσαν.

Παρακείμενος. ἑνικά.

τέθεικα	τέθεικας	τέθεικε.
δ.	τεθείκατον	τεθείκατον,
π. τεθείκαμεν	τεθείκατε	τεθείκασι.

Απαρέμφατα, παθητικὰ, καὶ μέσα
γένους, καὶ παρατατικός.

χρυσόεσθαι, οῦσθαι. παρακείμενος, καὶ ὑπερσυντέλικος κεχρυσῶσθαι. ἀόριστος α΄. χρυσωθῆναι. μέλλων α΄. χρυσωθήσεσθαι. μετ' ὀλίγον μέλλων, κεχρυσώσεσθαι. μέσος ἀόριστος α΄. χρυσώσασθαι. μέσος μέλλων α΄. χρυσώσεσθαι.

Μετοχαὶ παθητικαὶ καὶ μέσαι γένους, καὶ παρατατικός.

ὁ χρυσοόμενος, ούμενος — τοῦ χρυσοομένου, ουμένου,
ἡ χρυσοομένη, ουμένη, — τῆς χρυσοομένης, ουμένης
τὸ χρυσοόμενον, ούμενον, — τοῦ χρυσοομένου, ουμένου.

Παρακείμενος.

ὁ κεχρυσωμένος — τοῦ κεχρυσωμένου.
ἡ κεχρυσωμένη — τῆς σωμένης,
τὸ κεχρυσωμένον — τοῦ σωμένου.

Ἀόριστος α΄.

ὁ χρυσωθεὶς — τοῦ σωθέντος.
ἡ χρυσωθεῖσα — τῆς θείσης.
τὸ χρυσωθὲν — τοῦ θέντος.

Μέλλων α΄.

ὁ χρυσωθησόμενος — τοῦ θησομένου.
ἡ χρυσωθησομένη — τῆς θησομένης,
τὸ χρυσωθησόμενον — τοῦ θησομένου.

Μετ' ὀλίγον μέλλων. ἑνικά.

ὁ κεχρυσωσόμενος — τοῦ σωσομένου.
ἡ κεχρυσωσομένη — τῆς σωσομένης.
τὸ κεχρυσωσόμενον — τοῦ σωσομένου.

Μέσος ἀόριστος α΄.

κεχρυσωσοίμην σώσοιο σώσοιτο
δ. οίμεθον ώσοισθον οίσθην.
π. οίμεθα ώσοισθε ώσοιντο.
Μέσος ἀόριστος πρῶτος. εὐκτικά.
χρυσωσαίμην ώσαιο ώσαιτο,
δ. σωσαίμεθον ώσαισθον ωσαίσθην,
π. ωσαίμεθα ώσαισθε ώσαιντο.
Μέσος μέλλων ά. εὐκτικά.
χρυσωσοίμην ώσοιο ώσοιτο.
δ. οίμεθον ώσοισθον οίσθην.
π. οίμεθα ώσοισθε ώσοιντο.
Μέσα ὑποτακτικά παθητικά, ἐνε-
στώς, καὶ παρατατικός.
ἐαν χρυσόωμαι, ῶμαι, όῃ, οῖ, όηται, ῶται.
δ. χρυσοώμεθον, ώμεθον, όησθον, ῶσθον, όησθον, ῶσθον.
π. χρυσοώμεθα, ώμεθα, όησθε, ῶσθε, όωνται, ῶνται.
Παρακείμενος, εὐκτικά.
ἐαν κεχρυσῶμαι σῇαι σῆται.
δ. σώμεθον σῆσθον σῆσθον
π. σώμεθα σῆσθε σῶνται.
Αόριστος ά, ἐνικά.
ἐαν χρυσωθῶ θῇς θῇ.
δ. θῆτον. θῆτον.
π. σωθῶμεν θῆτε θῶσι.
Μέσος ἀόριστος ά. εὐκτικά.
ἐαν χρυσώσωμαι ώσῃαι ώσηται.
δ. σωσώμεθον ώσησθον ώσησθον.
π. σώμεθα ώσησθε σωνται.
Απαρέμφατα,

δ. ὕσωσθον ὠσθων,
π. ὕσωσθε ὠσθωσαν.

Αόριστος. ά. ἑνικά.

χρυσώθητι θήτω.
δ. ώθητον θήτων.
π. ώθητε θήτωσαν.

Μέσος ἀόριστος α. ἑνικά.

χρύσωσαι σάσθω
δ. ώσασθον σάσθων
π. ώσασθε σάσθωσαν.

Μετὰ τῶν ἐκτικὰ παθητικὰ ῥήσεως, καὶ παρατατικός, ἑνικά.

χρυσοίμην, οίμην, όοιο, οῖο, όοιτο, οῖτο.
δ. χρυσοίμεθον, οίμεθον, όοισθον, οῖσθον, οοίσθην, οίσθην. π. χρυσοίμεθα, οίμεθα, όοισθε, οῖσθε, όοιντο, οῖντο.

Παρακείμενος. ἑνικά.

κεχρυσώμην ύσωο ύσωτο,
δ. ώμεθον ύσωσθον ώσθην.
π. ώμεθα ύσωσθε ύσωντο.

Αόριστος ά. ἑνικά.

χρυσωθείην θείης θείη,
δ. θείητον θειήτην.
π. θείημεν θείητε θείησαν.

Μέλλων ά. ἑνικά.

χρυσωθησοίμην θήσοιο θήσοιτο,
δ. θησοίμεθον θήσοισθον θησοίσθην,
π. θησοίμεθα θήσοισθε θήσοιντο.

Μετ' ὀλίγον μέλλων. ἑνικά.

δ. χρυσώμεθον   ὕσωσθον   υσώσθην.
π. υσώμεθα, ὕσωσθε, ὕσωντο, καὶ ἰωνικῶς σώατο,

Ἀόριστος πρῶτος. ἑνικά.

ἐχρυσώθην   σώθης   σώθη,
δ.   σώθητον   σωθήτην.
π. σώθημεν   σώθητε   σώθησαν.

Μέλλων πρῶτος. ἑνικά.

χρυσωθήσωμαι   θήσῃ   εαι   θήσεται,
δ. ησόμεθον   θήσεσθον   ήσεσθον,
π. σόμεθα   ήσεσθε   ήσονται.

Μετ᾽ ὀλίγον μέλλων. ἑνικά.

κεχρυσώσομαι   σώσῃ   εαι   σώσεται,
δ. σόμεθον   ώσεσθον   ώσεσθον,
π. σόμεθα,   ώσεσθε   ώσονται.

Μέσος ἀόριστος ά. ἑνικά.

ἐχρυσωσάμην   ώσαο   ω   ώσατο,
δ. σωσάμεθον   σώσασθον   σωσάσθην,
π. σωσάμεθα   ώσασθε   ώσαντο.

Μέσος μέλλων ά. ἑνικά.

χρυσώσομαι   ώσῃ   εαι   ώσεται,
δ. όμεθον   ώσεσθον   ώσεσθον,
π. όμεθα   ώσεσθε   ώσονται.

Προστακτικὰ παθητικά, καὶ μέσα, ἐνεστὼς καὶ παρατατικός. ἑνικά.

χρυσόου, οῦ,   οέσθω,   ούσθω.
δ. χρυσόεσθον   οῦσθον   οέσθων, ούσθων.
π. όεσθε, οῦσθε   οέσθωσαν   ούσθωσαν.

Παρακείμενος καὶ ὑπερσυντέλικος, ἑνικά.

κεχρύσωσο   ώσθω.

ὁ χρυσόων,	ῶν	τοῦ χρυσόοντος, οῦντος,
ἡ χρυσόουσα	οῦσα	τῆς χρυσοούσης, ούσης.
τὸ χρυσόον	οῦν	τοῦ χρυσόοντος, οῦντος.

Παρακείμενος.

ὁ κεχρυσωκὼς	τοῦ υσωκότος.
ἡ κεχρυσωκυῖα	τῆς υσωκυίας.
τὸ κεχρυσωκὸς	τοῦ υσωκότος.

Αόριστος α.

ὁ χρυσώσας	τοῦ σώσαντος.
ἡ χρυσώσασα	τῆς σωσάσης,
τὸ χρυσῶσαν	τοῦ σώσαντος.

Μέλλων α.

ὁ χρυσώσων	τοῦ σώσοντος,
ἡ χρυσώσουσα	τῆς σωσούσης.
τὸ χρυσῶσον	τοῦ σώσοντος.

Ὁριστικὰ παθητικὰ ἐνεστῶς, ἑνικὰ καὶ μέσα.

χρυσόομαι, οῦμαι, σόῃ, ῇ, σόεται, οῦται,

δ. σόμεθον, ούμεθον, σόεσθον, οῦσθον, σόεσθον, οῦσθον.

π. όμεθα, ούμεθα, όεσθε οῦσθε, όονται, οῦνται.

Μέσος παρατατικὸς, ἑνικά.

ἐχρυσοόμην, ούμην, ἐχρυσόου, οῦ, σόετο, οῦτο.

δ. σοόμεθον, ούμεθον, σόεσθον, οῦσθον, όεσθην, ούσθην.

π. σοόμεθα, ούμεθα, σόεσθε, οῦσθε, σόοντο, οῦντο.

Παρακείμενος, ἑνικά.

κεχρύσωμαι	ύσωσαι	ύσωται,
δ. σώμεθον	ύσωσθον	ύσωσθον,

π. σώμεθα, ύσωσθε, ύσωνται, καὶ ἰωνικῶς, σώαται.

Υπερσυντέλικος, ἑνικά.

ἐκεχρυσώμην	ύσωσο	ύσωτο,

Ἀόριστος ά, εὐκτικά.

χρυσώσαιμι ώσαις ώσαι,
δ. ώσαιτον σαίτην,
π. ώσαιμεν ώσαιτε ώσαιεν.

Καὶ αἰολικῶς ἑνικὰ, καὶ ἀττικῶς.

χρυσώσεια ώσειας ώσειε,
δ. ωσείατον ωσειάτην.
π. είαμεν, είατε, οὐκ εἰσίν. ἀλλὰ σώσειαν, ἀττικῶς.

Μέλλων ά. ἑνικά.

χρυσώσοιμι ώσοις ώσοι.
δ. ώσοιτον οίτην.
π. ώσοιμεν ώσοιτε ώσοιεν.

Ὑποτακτικὰ συζυγητικὰ ἐνεστὼς, καὶ παρατατικός. ἑνικά.

ἐὰν χρυσόω, ῶ, όῃς, οῖς, όῃ, οῖ.
δ. όητον, οῖτον, όητον οῖτον.
π. όωμεν, ῶμεν, όητε, ῶτε, όωσιν, ῶσιν.

Παρακείμενος. ἑνικά.

ἐὰν κεχρυσώκω ώκῃς ώκῃ
δ. ώκητον ώκητον,
π. σώκωμεν ώκητε σώκωσι.

Ἀόριστος ά. ἑνικά.

ἐὰν χρυσώσω σώσῃς σώσῃ.
δ. ώσητον ώσητον.
π. σώσωμεν σώσητε σώσωσι.

Ἀπαρέμφατα, ἐνεστώς.

χρυσόειν, οῦν. παρακείμενος, κεχρυσωκέναι. ἀόριστος ά, χρυσῶσαι. μέλλων ά, χρυσώσειν.

Μετοχαὶ συζυγητικαὶ, ἐνεστώς.

πλ. χρυσώσαμεν ώσατε ύσωσαν.

Μέλλων ά. ἑνικά.

χρυσώσω ώσεις ώσει.

δυ. ώσετον ώσετον,

πλ. ώσομεν ώσετε ώσουσι.

Προστακτικὰ ἐνεργητικά, ἐνεστὼς. ἑνικά.

χρύσοε ου σοέτω ούτω,

δυ. σόετον οῦτον σοέτων οῦτων.

πλ. σόετε οῦτε σοέτωσαν ούτωσαν.

Παρακείμενος. ἑνικά.

κεχρύσωκε κέτω,

δυ. ώκετον κέτων,

πλ. ώκετε κέτωσαν.

Εὐκτικὰ ἐνεργητικά, ἐνεστὼς, καὶ παρ. ἑνικά.

χρυσόοιμι, οῖμι, όοις, οῖς, όοι, οῖ.

δυ. χρυσόοιτον, οῖτον, οοίτην, οίτην.

πλ. χρυσόοιμεν, οῖμεν, σόοιτε, οῖτε, σόοιεν, οῖεν.

Καὶ αἰολικῶς.

χρυσοίην οίης οίη,

δυ. οίητον οιήτην.

πλ. οίημεν οίητε οίησαν.

Καὶ δωρικῶς. ἑνικά.

χρυσῴην ῴης ῴη,

δυ. ῴητον ῳήτην.

πλ. ῴημεν ῴητε ῴησαν.

Παρακείμενος, ἑνικά.

κεχρυσώκοιμι ώκοις ώκοι,

δυ. ώκοιτον κοίτην,

πλ. ώκοιμεν ώκοιτε ώκοιεν.

τὸ βοησόμενον τοῦ βοησομένου.

Συναιρέσεις τῆς γ΄, συζυγίας.

ω	ᾶ	ᾳ	ω	ῶ	ῳ	η
αο	αει	αε	αο	αου	αοι	αη

Περὶ τῆς γ΄. συζυγίας τῶν περισπωμένων.

Τ ρίτη συζυγία τῶν περισπωμένων ἔχει τὸ μέλλοντα τοῦ βαρυτόνου διὰ τοῦ οω. οἷον χρυσόω. ἐπὶ δὲ τοῦ μέλλοντος πρὸ τοῦ σω, τὸ ω, ἔχει. οἷον χρυσώσω, πλὴν τοῦ ἀρόω, ἀρῶ, ἀρόσω. ὁμόω, ὁμῶ, ὁμόσω. ὀνόω, ὀνῶ, ὀνόσω. βόω, βῶ, βόσω.

Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν, ἐνεστώς. ἑνικά.

χρυσόω, ῶ, χρυσόεις, οῖς, χρυσόει, οῖ.

δ. χρυσόετον, οῦτον, χρυσόετον, οῦτον.

π. χρυσόομεν, οῦμεν χρυσόετε, οῦτε, χρυσόουσι, οῦσι.

Παρατατικὸς, ἑνικά.

ἐχρύσοον οῦν	ἐχρύσοες, ους.	ἐχρύσοε, ου.
δ.	χρυσόετον, οῦτον	υσοέτην, ούτην.
π. χρυσόομεν, οῦμεν,	υσόετε, οῦτε.	ύσοον, ουν.

Παρακείμενος. ἑνικά.

κεχρύσωκα	ύσωκας	ύσωκε.
δ.	υσώκατον	υσώκατον.
π. υσώκαμεν	ώκατε	ώκασι.

Ὑπερσυντέλικος. ἑνικά.

ἐκεχρυσώκειν.	σώκεις	σώκει,
δ.	ώκειτον	κείτην.
π. ώκειμεν	ώκειτε	ώκεισαν.

Ἀόριστος α΄. ἑνικά.

ἐχρύσωσα	ύσωσας	ύσωσε,
δ.	ώσατον	σάτην

βεβοήσεσθαι. μέσος ἀόριστος α΄, βοήσασθαι. μέσος μέλλων α΄, βοήσεσθαι.

Μετοχαὶ παθητικαὶ καὶ μέσαι, ἐνεστώς.

ὁ βοώμενος, ώμενος	τοῦ βοωμένου, ωμένου.
ἡ βοωμένη, ωμένη	τῆς βοωμένης, ωμένης,
τὸ βοώμενον, ώμενον,	τοῦ βοωμένου, ωμένου.

Παρακείμενος.

ὁ βεβοημένος	τοῦ βεβοημένου.
ἡ βεβοημένη	τῆς βεβοημένης.
τὸ βεβοημένον	τοῦ βεβοημένου.

Ἀόριστος α΄.

ὁ βοηθεὶς	τοῦ βοηθέντος.
ἡ βοηθεῖσα	τῆς βοηθείσης.
τὸ βοηθὲν	τοῦ βοηθέντος.

Μέλλων πρῶτος.

ὁ βοηθησόμενος	τοῦ βοηθησομένου.
ἡ βοηθησομένη	τῆς βοηθησομένης.
τὸ βοηθησόμενον	τοῦ βοηθησομένου.

Μετ᾽ ὀλίγον μέλλων.

ὁ βεβοησόμενος	τοῦ βεβοησομένου.
ἡ βεβοησομένη	τῆς βεβοησομένης.
τὸ βεβοησόμενον	τοῦ βεβοησομένου.

Μέσος ἀόριστος α΄.

ὁ βοησάμενος	τοῦ βοησαμένου.
ἡ βοησαμένη	τῆς βοησαμένης.
τὸ βοησάμενον	τοῦ βοησαμένου.

Μέσος μέλλων. α΄

ὁ βοησόμενος	τοῦ βοησομένου.
ἡ βοησομένη	τῆς βοησομένης.

π. ἠσοίμεθα	ἤσοισθε	ἤσοιντο.

Μέσος ἀόριστος ά. ἑνικά.

Βοησαίμην	ἤσαιο	ἤσαιτο,
δ. ησαίμεθον	ἤσαισθον	ησαίσθην.
π. ησαίμεθα	ἤσαισθε	ἤσαιντο.

Μέσος μέλλων ά. ἑνικά.

Βοησοίμην	ἤσοιο	ἤσοιτο,
δ. ησοίμεθον	ἤσοισθον	ησοίσθην,
π. ησοίμεθα	ἤσοισθε	ἤσοιντο.

Παθητικὰ ὑποτακτικὰ, ἐνεστὼς
ἑνικά, καὶ μέσα.

ἐὰν βοάωμαι, ῶμαι, άῃ, ᾷ. άηται, ᾶται.
δ. αώμεθον, ώμεθον, άησθον, ᾶσθον, άησθον, ᾶσθον.
π. αώμεθα, ώμεθα, άησθε, ᾶσθε, άωνται, ῶνται.

Παρακείμενος. ἑνικά.

ἐὰν βεβοῶμαι	οῇ	οῆται,
δ. οώμεθον	ῆσθον	ῆσθον
π. βοώμεθα	ῆσθε	ῶνται.

Ἀόριστος πρῶτος. ἑνικά.

ἐὰν βοηθῶ	θῇς	θῇ.
δ.	θῆτον	θῆτον.
π. θῶμεν	θῆτε	θῶσι.

Μέσος ἀόριστος ά. ἑνικά.

ἐὰν βοήσωμαι	ήσῃ εαι	ήσωται.
δ. ησώμεθον	ήσησθον	ήσησθον,
π. ησώμεθα	ήσησθε	ήσωνται.

Ἀπαρέμφατα παθητικά, ἐνεστώς.

Βοάεσθαι, ᾶσθαι. παρα. βεβοῆσθαι. ἀόριστος ά, βοηθῆναι. μέλλων ά. βοηθήσεσθαι. μετ' ὀλίγον μέλλων,

π.	όμεθε	ήθωσαν.

Αόριστος ά, ἑνικά.

	βοήθηθι	θήτω,
δ.	ήθητον	θήτων,
π.	ήθητε	ήτωσαν.

Μέσος ἀόριστος ά. ἑνικά.

	βόησαι	ησάσθω.
δ.	ήσασθον	ησάσθων,
π.	ήσασθε	ησάσθωσαν.

Εὐκτικὰ παθητικὰ καὶ μέσα, ἐνεστώς. ἑνικά.

βοαοίμην, ῴμην, οάοιο, ῷο, άοιτο, ῷτο.
δ. αοίμεθον, ῴμεθον, άοισθον, ῷσθον, αοίσθην, ῴσθην.
π. αοίμεθα, ῴμεθα, άοισθε, ῷσθε, άοιντο, ῷντο.

Παρακείμενος, καὶ ὑπερσυν-
τέλικος. ἑνικά.

βεβοήμην	όμο	όητο,
δ. οήμεθον	όησθον	οήσθην.
π. οήμεθα	όησθε	όηντο.

Αόριστος ά. ἑνικά.

βοηθείην	ηθείης	ηθείη,
δ.	ηθείητον	ηθειήτην.
π. ηθείημεν	ηθείητε	ηθείησαν.

Μέλλων ά. ἑνικά.

βοηθησοίμην	θήσοιο	θήσοιτο,
δ. ησοίμεθον	ήσοισθον	ησοίσθην.
π. ησοίμεθα	ήσοισθε	ήσοιντο.

Μετ' ὀλίγον μέλλων. ἑνικά.

βεβοησοίμην	ήσοιο	ήσοιτο,
δ. ησοίμεθον	ήσοισθον	ησοίσθην.

δ. ἐβεβοηθήμεθον	ῆσθον	ήσθην.
π. ήμεθα	ῆσθε	ῆντο.

Ἀόριστος ά, ἑνικά.

ἐβοηθήθην	ήθης	ήθη,
δ.	ήθητον	ηθήτην,
π. ήθημεν	ήθητε	ήθησαν.

Μέλλων ά. ἑνικά.

Βοηθήσομαι	θήσῃ ει	θήσεται,
δ. θησόμεθον	θήσεσθον	ήσεσθον,
π. ησόμεθα	ήσεσθε	ήσονται.

Μετ' ὀλίγον μέλλων. ἑνικά.

Βεβοηθήσομαι	ήσῃ ει	ήσεται,
δ. ησόμεθον	ήσεσθον	ήσεσθον,
π. ησόμεθα	ήσεσθε	ήσονται.

Μέσος ἀόριστος πρῶτος. ἑνικά.

ἐβοηθησάμην	ήσω σω	ήσατο.
δ. ησάμεθον	ήσασθον	ησάσθην,
π. ησάμεθα	ήσασθε	ήσαντο.

Μέσος μέλλων. ἑνικά.

Βοηθήσομαι	ήσῃ ει	ήσεται.
δ. ησόμεθον	ήσεσθον	ήσεσθον,
π. ησόμεθα	ήσεσθε	ήσονται.

Παθητικὰ προστακτικὰ, ἐνεστὼς ἑνικὰ, καὶ μέσα.

Βοηθέου οῦ	εέσθω		είσθω.
δ. έεσθον	εῖσθον	εέσθων	είσθων,
π. έεσθε εῖσθε	εέσθωσαν		είσθωσαν.

Παρακείμενος. ἑνικά.

	Βεβοήθησο	ήσθω,
δ.	ῆσθον	ήσθων.

τὸ βοάον	ῶν	τοῦ βοάοντος, ῶντος.

Παρακείμενος.

ὁ βεβοηκὼς	τοῦ βεβοηκότος.
ἡ βεβοηκυῖα	τῆς βεβοηκυίας.
τὸ βεβοηκὸς	τοῦ βεβοηκότος.

Ἀόριστος πρῶτος.

ὁ βοήσας	τοῦ βοήσαντος,
ἡ βοήσασα	τῆς βοησάσης
τὸ βοῆσαν	τοῦ βοήσαντος.

Μέλλων πρῶτος.

ὁ βοήσων	τοῦ βοήσοντος
ἡ βοήσουσα	τῆς βοησούσης.
τὸ βοῆσον	τοῦ βοήσοντος.

Ὁριστικὰ παθητικά, καὶ μέσα. ἐνεστώς.

βοάομαι, ῶμαι, βοάῃ, ᾷ, βοάεται, ᾶται.

δ. βοαόμεθον, ώμεθον, βοάεσθον, ᾶσθον, άεσθον, ᾶσθον.

π. βοαόμεθα, ώμεθα, άεσθε, ᾶσθε, άονται, ῶνται.

Μέσος παρατατικός. ἑνικά.

ἐβοαόμην, ώμην, ἐβοάου, ῶ, ἐβοάετο, ᾶτο.

ἐβοαόμεθον, ώμεθον, ἐβοάεσθον, ἐβοᾶσθον, ἐβοαέσθην, ᾶσθην. π. ἐβοαόμεθα, ώμεθα, ἐβοάεσθε, ᾶσθε, ἐβοάοντο, ῶντο.

Παρακείμενος. ἑνικά.

βεβόημαι	όησαι	όηται.
δ. οήμεθον	όησθον	όησθον,
π. οήμεθα	όησθε	όηνται.
ἰωνικῶς	κοινῶς	όαται.

Ὑπερσυντέλικος. ἑνικά.

Ἢν μερόπων ἐπιδῇς βίον, εἰ δὲ καὶ ἤθεα τῶνδε.
Οὐδὲν ἀναίτιον εἴσῃ, κἂν μέμφοιό περ ἄλλοις.
Εἰ βλαβερὸν κατέχεις, καὶ εἰ φίλον ἔπλετο ῥῖψον.
Δεῖ γὰρ προκρίνειν τό γε συμφέρον ἐστὶν ὅτε πλούτου.
Ἐμβριθὺς ἔσο καὶ πρᾶος ὥς γε τὰ πράγματ' ἀπαιτεῖ,
Πρὸς γὰρ τοὺς καιροὺς ὁ σοφὸς μεταβαίνετ' ἀμέμπτως
Μεμφομένης ἀλόχου δούλοις προπετῶς μὴ ἀκούσῃς,
Πολλάκις γὰρ ὁ πόσις φιλέει συγέει παράκοιτις.
Εἰ σὺ παραινεῖς, μέν τινι κεῖνος δ' οὐκ ἐπακούει.
Καί μην ἄρ' ἐστὶν ὃ μάλιστα φιλεῖς μὴ ἀφίστασο τοὔργου
Μὴ αὐθίστασο, μὴ δ' ἐρίδαινε κάλοις ἀδολέσχως,
Ὅτι λόγος πᾶσι δέδοται, ξύνεσις δ' ὀλιγίστοις.
Ὡς ἑτέρους φίλει, ὡς καὶ σαυτῷ φίλτατος ἐστὶν
Ὡς καλοῖς καλὸς ἴσθι, ὡς μὴ βλαβερὸν τίσι ἦεν.
Θρύλλους φεῦγε, νέος μὴ μυθοπλάστης δόξῃς.
Οὐδένα μὲν σιγὴ, τὸ δ' ἐναντίον ἤκαχε πολλούς.

ζου ἀναιτίως, μηδενὸς καταγελάσῃς, εἰς δεῖπνον προσκληθεὶς, πάρελθε. δάνειον πάρεχε. σκόπει δ᾽ οὖν τοίνυν ᾧ παρέχεις, σεμνῶς συμποσίαζε, ἀποχρώντως καθεῦδε. ὅρκον τήρει. οἴνῳ σαυτὸν κεράννυε. μάχου ὑπὲρ πατρίδος. μηδενὶ προπετέστερον πίστευε. ἀσφαλῶς βουλεύου. ἑταίρας φεῦγε. γράμματα μελετᾷν θέλε. μὴ ψεύδεσθαι βούλου. σὺ ἀγαθὸς ἀγαθὸν ποίει. κακολογίας ἀφίστασο. τὴν ὑπόνοιαν ἔπεχε. τὰ δίκαια κρῖνε. τοὺς τεκόντας ὑπομονῇ νίκα. τῷ πραιτωρίῳ ἐμφιλοχώρει. σύμβουλος ἴσθι. ἀρετῇ χρῶ. σφαίραις ἄθυρε. κύβων ἀπέχου. τὴν ὀργιλότητα κρῖνε. μηδὲν τῇ τῆς ἰσχύος κρίσει διαπράξῃς, φέρε νόμον, ὃν αὐτὸς ἄλλοις ἔθηκας. εὐποιΐας ἧς ἔτυχες μνημονεύειν θέλε. τὸν ἐλάττω μὴ ἀποσκυβαλίσῃς. ἀλλοτρίων μὴ ἐπιθύμει. τὸν συνοικὸν στέργε, βραχέα ἐν συμποσίῳ λάλει, ὃ δίκαιον ποίει. δυσπραγοῦντα μὴ χλευάσῃς. ἀπαρασίως φιλίαν φέρε.

παραινετικαὶ δίστιχοι, ἃς μετήνεγκεν ἐκ τῆς λατίνων φωνῆς εἰς τὴν ἑλλάδα διάλεκτον μάξιμος μοναχὸς ὁ πλανούδης.

Προοίμιον.

α Κατανοήσας ἐγὼ κατὰ νοῦν, ὡς οἱ πλεῖστοι δὴ τῶν ἀνθρώπων τῆς τῶν ἠθῶν ὁδοῦ παρατρέπονται, συλληπτέον τε εἶναι, καὶ γνώμην συνεισακτέον ᾠήθην δεῖν ταῖς σφῶν ἀπολήψεσιν. ἵν' ὅτι μάλιστα σὺν εὐδοξίᾳ τε βιώσαιεν, καὶ τιμῆς ἐπιτύχοιεν. δεῦρο τοίνυν σε φίλτατε υἱὲ διδάξω τρόπον τινὰ τὰ τοῦ σοῦ νοὸς ἤθη κοσμήσεις, οὕτω δ' οὖν ἀναλέγου τὰς δὲ τὰς ἐμὰς ἐντολάς, ὥς τε δὴ καὶ συνιέναι αὐτῶν. τὸ γάρ τοι ἀναγινώσκειν, καὶ μὴ γινώσκειν, καταγινώσκειν ἐστί.

Καὶ δῆτα τῷ θεῷ λάτρευε. γονέας ἀγάπα. τοὺς προσήκοντας τίμα. τὸ πιστευθέν σοι τήρει. σαυτὸν τῷ βουλευτηρίῳ δεξιὸν πάρεχε, ἀγαθοῖς ὁμίλει, μὴ πρότερον εἰς βουλὴν παρέλθῃς πρὶν ἂν κληθείης. καθαρὸς ἴσθι, ἀσμένως ἀσπάζου, τῷ μείζονι ὑπεξίστασο, τὸν καθηγητὴν δέδιθι. τὴν αἰδῶ φύλαττε, τὰ ὑπάρχοντα φρούρει, τῇ ἀκριβείᾳ πρόσεχε, τῆς οἰκίας ἐπιμέλου, τὰς βίβλους διέρχου. τῶν ἀνεγνωσμένων μέμνησο. τὰ φίλτατα παίδευε. ἤπιος ἔσο. μὴ ὀργί-

λαβὼν ἀπόδος ἄνθρωπε καὶ λήψῃ πάλιν.
τὰ δάνεια, δούλους τοὺς ἐλευθέρους ποιεῖ.

Εἰς ψεῦδος.

ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.
ψευδοῦς διαβολὴ τὸν βίον λυμαίνεται.
ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς, καὶ χρήσιμος.

Εἰς ψόγον.

ἤθους δικαίου, φαῦλος οὐ ψαύει λόγος.
νικᾷ γὰρ αἰεὶ διαβολὴ τὰ κρείττονα.
τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν ἀνδρὸς κακοῦ.

Εἰς ψυχήν.

ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα.

ΤΕΛΟΣ ΜΟΝΟΣΤΙΧΩΝ ΓΝΩΜΩΝ.

ἄνευ φρονῆς τὰ πάντα γ' εὐδαίμων ἔσῃ.
ἀεὶ κράτιστόν ἐστι τ' ἀσφαλέστατον.
ἔνιοι κακῶς φρονοῦσι πράττοντες καλῶς.
ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.
ἡδύ γε πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.
ἥδιστόν ἐστιν εὐτυχοῦντα, νοῦν ἔχειν.
μισῶ σοφιστὴν, ὅς τις οὐχ αὑτῷ σοφός.
νοεῖν γάρ ἐστι κρεῖττον, ἢ οὐσίαν ἔχειν.
συνετὸς πεφυκὼς φεῦγε τὴν κακουργίαν.
ὁ παρ' ἡλικίαν νοῦς, μῖσος ἐξεργάζεται.
οὐδεὶς ὁ νοεῖς μὲν οἶδεν ὃ δὲ ποιεῖς βλέπει.
οὐ πανταχῇ δ' ὁ φρόνιμος ἁρμόττειν δοκεῖ.
τὸ μηδὲν εἰκῇ, πανταχοῦ ἐστι χρήσιμον.
ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.
ὡς οὐδὲν ἡ μάθησις ἢν μὴ νοῦς παρῇ.

Εἰς φύσιν.

ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις.
ἡ φύσις ἑκάστου γὰρ γένους ἐστὶν πατρίς.
ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ.
φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον.

Εἰς χρόνον.

ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.
μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
πάντ' ἀνακαλύπτων ὁ χρόνος πρὸς φέρει.
σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος.
χρόνος δ' ἀναιρεῖ πάντα καὶ λήθην ἄγει.

Εἰς χρέος.

λαβὼν

μακάριος ὅς τις ἔτυχε γυναικὸς φίλου.
μηδέποτε πειρῶ δύο φίλων εἶν κριτής.
νόμισ' ἀδελφοὺς σοὺς ἀληθῶς φίλους.
οὐκ ἔστιν οὐδεὶς, ὅς τις οὐχ αὑτὸν φιλεῖ.
ὀργῆς χάριν τὰ κρυπτὰ μὴ φαίνῃς φίλου.
οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.
πειρῶ φίλοισι μὴ κακὸς γ' εἶν φίλος
πολλοὶ τραπέζης οὐκ ἀληθείας φίλοι.
τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
φίλον δι' ὀργὴν ἐν κακοῖς μὴ παρίδῃς.
φίλος φίλῳ γὰρ συμπονῶν αὑτῷ πονεῖ.
φίλου τρόπους γίνωσκε. μισήσῃς δὲ μή.
φίλος με βλάπτων οὐδὲν ἐχθροῦ διαφέρει.
φίλους ἔχων, νόμιζε θησαυροὺς ἔχειν.
φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.
φιλίας δικαίας, κτῆσις ἀσφαλεστάτη.
φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.

Εἰς φιλοπονίαν.

ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
ἐν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.
μοχθεῖν ἀνάγκη σοὺς θέλοντας εὐτυχεῖν.
φιλόπονος ἴσθι καὶ βίον κτήσῃ καλόν.
ὡς ἡδὺ τοῖς σοφοῖσι μεμαθηκέναι πόνων.
ὡς πολλὰ θνητοῖς ἡ σχολὴ ποιεῖ κακά.
αὐτά σε διδάσκει τοῦ βίου τὰ πράγματα.

Εἰς φρόνησιν.

ἀγαθὸν μέγιστον ἡ φρόνησις ἐστ' ἀεί.
ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
ἄριστόν ἐστι πάντ' ἐπίστασθαι καλά.

ἤνεγκε λύπην καὶ βλάβην ἐῤῥωμένως.
κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.
νίκα λογισμῷ τὴν παροῦσαν συμφοράν.
πειρῶ τύχης ἄγνοιαν εὐχερῶς φέρειν.
ῥᾶον παραινεῖν, ἢ παθόντα καρτερεῖν.
στεῤῥῶς φέρειν χρὴ συμφορὰν τὸν εὐγενῆ.
τὴν τῶν κρατούντων μάθε φέρειν ἐξουσίαν.
φρονοῦντός ἐστι ζημίαν ῥᾶον φέρειν.
φέρειν ἀνάγκη θνητὸν ὄντα τὴν τύχην.

Εἰς φθόνον.

αὐτὸς πενωθεὶς τοῖς ἔχουσι μὴ φθόνει.

Εἰς φίλους.

ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως.
ἅπασιν εὖ πράττουσιν ἥδομαι φίλοις.
αὐτὸς κακῶς πράσσοντος ἐκποδὼν φίλος.
βέβαιος ἴσθι, καὶ βεβαίως χρῶ φίλοις.
δεῖ τοὺς φιλοῦντας, πίστιν οὐ λόγους, ἔχειν.
ἐν τοῖς δὲ δεινοῖς, χρημάτων κρείττων φίλος.
εὔχου δ' ἔχειν τι, κἂν ἔχῃς, ἕξεις φίλους.
ἐν τοῖς κακοῖς δὲ τοὺς φίλους εὐεργέτει.
ἴσον θεῷ σου τοὺς φίλους τιμᾶν θέλε.
ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ.
καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.
καλὸν θέαμα δ' ἐστὶν εὖ πράττων φίλος.
κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.
μισοῦντα μίσει καὶ φιλοῦνθ' ὑπερφίλει.
λίαν φιλῶν σεαυτὸν, οὐχ ἕξεις φίλον.
μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον.

θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.
οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη.
πολλοὺς κακῶς πράσσοντας, ὤρθωσεν τύχη.
πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.
στέγει παρούσης τῆς τύχης τὰ πράγματα.
στρέφει δὲ πάντα τὸν βίον μικρὰ τύχη.
τύχη τὰ θνητῶν πράγματ' οὐκ εὐβουλία.
ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.
τὰ θνητὰ πάντα μεταβολὰς πολλὰς ἔχει.
χειμὼν μεταβάλλει ῥαδίως εἰς εὐδίαν.
ὡς ποικίλον πρᾶγμα ἐστι καὶ πλάνον τύχη.

Εἰς ὕβριν.

δύσμορος ἴσθι μᾶλλον, ἢ κακηγόρος.
ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.
ὕβριν πέπονθας δεινὸν ἂν προσποιῇ.

Εἰς ὑγίειαν.

οὐκ ἔσθ' ὑγιείας κρεῖττον οὐδὲν ἐν βίῳ.
ὑγίεια καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο.

Εἰς ὑπερηφανίαν.

ἀλαζονείας οὔτις ἐκφεύγει δίκην.
ὅτ' εὐτυχεῖς μάλιστα μὴ μέγα φρόνει.

Εἰς ὕπνον.

ὕπνος δὲ θανάτου τις προμελέτησις πέλει.
ὕπνος δὲ πᾶσίν ἐστιν ὑγίεια βίου
ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
ὕπνος πέφυκε σώματος σωτηρία.
ὕπνος δὲ πεῖναν τὴν κατέχατον δαμᾷ.

Εἰς ὑπομονήν.

ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν.

Ἔργα δὲ σιωπῆς πικρότερον κατηγορεῖ.
ἐνίοις τὸ σιγᾶν, ἐστὶ κρεῖττον τοῦ λέγειν.
οὐ καταφρόνητόν ἐστι σιγηρὸς τρόπος.
ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.
ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.
πολλοῖς ἀπόκρισις ἡ σιωπὴ τυγχάνει.
ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.
ἢ δεῖ σιωπᾶν, ἢ λέγειν ἀμείνονα.
κρεῖττον σιωπᾶν, ἢ λαλεῖν, ἃ μὴ πρέπει.
οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον.
σιγὴ ποτ᾽ ἐστὶν αἱρετωτέρα λόγου.
οὐ δεῖ σιωπᾶν καὶ λαλεῖν ὅπου χρεών.

Εἰς συνείδησιν.

Βροτοῖς ἅπασιν ἡ συνείδησις θεός.

Εἰς τέχνην.

λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
τύχη τέχνην ἔρρωσεν, οὐ τέχνη τύχην.

Εἰς τιμήν.

τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.

Εἰς τόλμαν.

οὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.
ἔστι τὸ τολμᾶν, ὦ φίλ᾽ ἀνδρὸς οὐ σοφοῦ.
περιπέτεια πολλοῖς ἐστιν αἰτία κακῶν.
τὸ πολλὰ τολμᾶν, πολλ᾽ ἁμαρτάνειν ποιεῖ.

Εἰς τύχην.

ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης,
βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν.
δὸς τῇ τύχῃ τὸ μικρόν, ἐκλήψῃ μέγα.
δυσπαρακολούθητον δὲ πρᾶγμ᾽ ἐσθ᾽ ἡ τύχη.

τὸ πολλὰ πράττειν ἐστὶ πανταχοῦ σαπρόν.
τὰ πολλὰ πράττειν, κὠδύνας πολλὰς ἔχει.

Εἰς πονηρούς.

ἀνὴρ πονηρὸς δυστυχεῖ κἂν εὐτυχῇ.
ἀνδρὸς πονηροῦ φεῦγε συνουσίαν ἀεί.
ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.
ἀνουθέτητόν ἐστιν ἡ πονηρία.
ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
δύσμορφος εἶναι μᾶλλον, ἢ καλὸς κακός.
τὸν δόλιον ἄνδρα φεῦγε παρ᾽ ὅλον τὸν βίον.
ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.
ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει.
θεοῦ δ᾽ ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.
κακοῖς ὁ μολὼν καὐτὸς ἐκβήσῃ κακός.
κακοῦ γὰρ ἀνδρὸς δῶρ᾽ ὄνησιν οὐκ ἔχει.
καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.
κακῷ σὺν ἀνδρὶ μὴ δ᾽ ὅλως ὁδοιπόρει.
πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον.
φθείρουσιν ἤθη χρήσθ᾽ ὁμιλίαι κακαί.
φασὶν κακίστους οἱ πονηροὶ τοὺς καλούς.
Χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.
ὡς ἔργον εὖ ζῆν ἐν πονηροῖς ἤθεσιν.
ὡς πάντα τιμῆς ἐστι, πλὴν κακοῦ τρόπου.

Εἰς προσοχήν.

εἰ μὴ φυλάξῃς μίκρ᾽ ἀπολεῖς τὰ μείζονα.
τῆς ἀμελίας πάντα δοῦλα γίγνεται.

Εἰς σιωπήν.

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.
γλώσσῃ ματαίᾳ ζημία προσγίνεται.

Εἰς πενίαν.

πενία δ᾽ ἀγνώμονας γε τοὺς πολλοὺς ποιεῖ.
καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς.
λεπτὰς καλῶς ζῆν κρεῖσσον, ἢ λαμπρὰς κακῶς.
μισῶ πένητα πλουσίῳ δωρούμενον.
πενίαν φέρειν, οὐ παντὸς, ἀλλ᾽ ἀνδρὸς σοφοῦ.
πένητας ἀργοὺς οὐ τρέφει ῥαθυμία.
πενία δ᾽ ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
πενίαν φέρειν, καὶ γῆρας ἐστι δύσκολον.
οὐδὲν πενίας βαρύτερον ἐστι φορτίον.
τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.

Εἰς πίστιν.

μὴ πάντα περὶ πᾶσι πιστεύειν ἀεί.

Εἰς πλεονεξίαν.

ἰσότητα δ᾽ αἱροῦ πλεονεξίαν φύγε.
κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία.

Εἰς πλοῦτον.

δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα
ἐὰν δ᾽ ἔχωμεν χρήμαθ᾽, ἕξομεν φίλους.
ἥδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν.
μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν.
μὴ σπεῦδε πλουτεῖν μὴ πένης γένῃ ταχύ.
πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν.
ῥάθυμος ὢν σὺ πλούσιος, πένης ἔσῃ.
χρυσὸς δ᾽ ἀνοίγει πάντα καὶ ᾅδου πύλας.

Εἰς πολυπραγμοσύνην.

πολυπραγμονεῖν τ᾽ ἀλλότρια μὴ βούλου κακά.
πολλοὶ σχολὴν ἄγουσιν εἰς τὰ χείρονα.

φιλίας μέγιστος δεσμὸς, αἱ τέκνων γοναί.

Εἰς παιδείαν.

ἀναφαίρετον κτῆμ᾽ ἐστὶ παιδεία βροτοῖς.
ἅπαντας ἡ παίδευσις ἡμέρους ποιεῖ.
βραβεῖον ἀρετῆς ἐστὶν εὐπαιδευσία.
βλέπων πεπαίδευμ᾽ εἰς τὰ τῶν ἄλλων κακά.
γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα, νοῦν ἔχειν
διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα.
βακτηρία γάρ ἐστι παιδεία βίου.
κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
καὐτοῖς ἀγροίκοις ἐστὶ παιδείας λόγος.
καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά.
τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.
ὁ γράμματ᾽ εἰδὼς καὶ περισσὸν νοῦν ἔχει.
ὁ σοφὸς ἐν αὐτῷ περιφέρει τὴν οὐσίαν.
ὁ μὴ δαρεὶς ἄνθρωπος, οὐ παιδεύεται,
ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων·
οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
σοφοῖς ὁμιλῶν, καὐτὸς ἐκβήσῃ σοφός.
σοφία γάρ ἐστι καὶ μαθεῖν ὃ μὴ νοεῖς.
σοφῷ παρ᾽ ἀνδρὶ πρῶτον. εὑρέθη λόγος.
σοφὸς γὰρ οὐδεὶς ὃς τὰ πάντα προσκοπεῖ.
σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
σοφοῦ παρ᾽ ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν
σοφοὶ δὲ συγκρύπτουσιν οἰκίας βλάβας.
ὡς οὐδὲν ἡ μάθησις ἂν μὴ νοῦς παρῇ.

Εἰς παραίνεσιν.

ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ᾽ ἁμαρτάνοντες, οὐ γιγνώσκομεν.

ξένον ἀδικήσεις μηδέ ποτε καιρὸν λαβών.
ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν.
ξένος ὢν ἀπράγμων ἴσθι καὶ πράξεις καλῶς.
ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος.
ξένον δὲ, σιγᾶν κρεῖττον, ἢ κεκραγέναι.
ξένος πεφυκὼς, τοὺς ξενοδόχους σέβου.
ξένους ξένιζε. καὶ σὺ γὰρ ξένος γ' ἔσῃ.
πλάνη βίον τίθησι σωφρονέστερον.

Εἰς ὅρκον.

ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε.
θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.
ὅρκον δὲ φεῦγε κἂν δικαίως ὀμνύῃς.

Εἰς ὀργήν.

ἄνθρωπος ὢν γίγνωσκε τῆς ὀργῆς κρατεῖν.
γίγνου δ' ἐς ὀργὴν μὴ ταχύς τ' ἀλλὰ βραδύς.
βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών.
ζήσεις βίον κράτιστον, ἂν θυμοῦ κρατῇς.
θυμοῦ κρατῆσαι κἀπιθυμίας, καλόν.
νίκησον ὀργὴν, τῷ λογίζεσθαι καλῶς.
ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.
οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.
ὀργὴ φιλούντων μικρὸν ἰσχύει χρόνον.
ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.
φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους.

Εἰς παῖδας.

αὐθαίρετος λύπη 'στὶν ἡ τέκνων σπορά.
μακάριόν ἐστιν ἤδη εὐτυχῆ τρέφειν.
μακάριος ὅστις εὐτυχήσει εἰς τέκνα.
στῦλος γὰρ οἴκου, παῖδές εἰσιν ἄρρενες.

Εἰς μετάνοιαν.

ἡ δὲ μετάνοια γίγνετ' ἀνθρώποις κρίσις.

Εἰς μετριότητα.

ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί.
βούλου δ' ἀρέσκειν πᾶσι μὴ σαυτῷ μόνον.
εἰ θνητὸς εἶ βέλτιστε θνητὰ καὶ φρόνει.
σοὶ δ' οὐ πλέον σηγόροισιν ἔστι τὶς χάρις.
ἴσος μὲν ἴσθι πᾶσι κἂν προὔχῃς βίῳ.
σωτηρίας σημεῖον ἥμερος τρόπος.
τὸ γνῶθι σαυτὸν πανταχοῦ 'στι χρήσιμον.

Εἰς μητρυιάν.

δεινότερον οὐδὲν ἄλλο μητρυιῆς κακόν.

Εἰς νεότητα.

ἀκμὴ τὸ σύνολον οὐδὲν αὔθους διαφέρει.
μέμνησο νέος ὢν ὡς γέρων ἔσῃ ποτέ.
νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε.
νέῳ δὲ σιγᾶν μᾶλλον, ἢ λαλεῖν πρέπει.
νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.

Εἰς νόμους.

ἰσχυρὸν ὁ νόμος ἐστίν, ἢν ἄρχοντ' ἔχῃ.
νόμῳ τὰ πάντα γίγνεται. καὶ κρίνεται.
νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.
βίας παρούσης οὐδὲν ἰσχύει νόμος.
ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται.

Εἰς ξένους.

ξένους πένητας μὴ παραδράμῃς ἰδών.
ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ.
ξενίας ἀεὶ φρόντιζε μὴ καθυστέρει.
ξένοισι πιστοῖς, πιστὸς ὢν γίγνου φίλος.

λιμῷ γὰρ οὐδείς ἐστιν ἀντειπεῖν ἔπος.

Εἰς λόγον.

ἰσχυρότερον δ' οὐδέν ἐστι τοῦ λόγου.
λόγος γὰρ ἐστι λύπης φάρμακον μόνος.
λόγῳ μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ.
λόγοις ἀμείβου τὸν λόγοις πείθοντά σε.
λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος.
λόγῳ διοικεῖται βροτῶν βίος μόνῳ.
μέγιστόν ἐστιν ὀργῆς φάρμακον λόγος.
ὁ λόγος ἰατρός ἐστι τοῦ κατὰ ψυχὴν πάθους.
ῥῆμα παρὰ καιρὸν ῥιφθὲν ἀνατρέπει βίον.
ῥίψας λόγον τις, οὐκ ἀναιρεῖται πάλιν.
ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος.

Εἰς λύπην.

ἀεὶ τὸ λυποῦν ἐκδίωκε τοῦ βίου.
ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος.
βιοῦν ἀλύπως θνητὸν ὄντ' οὐ ῥᾴδιον.
λῦπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσους.
πλοίου λιμὴν μέν, ἀλυπία δ' ὅρμος βίου.
οὐκ ἔστι λύπης χεῖρον ἀνθρώποις κακόν.
τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.

Εἰς μέθην.

καλὸν τὸ νήφειν, ἢ τὸ πολλὰ κραιπαλᾶν.
ὁ πολὺς ἄκρατος, μίκρ' ἀναγκάζει φρονεῖν.

Εἰς τὸ μέλλον.

θνητὸς πεφυκώς, τοὐπίσω πειρῶ βλέπειν.
μένει δ' ἕκαστον, τοῦθ' ὅπερ μέλλει παθεῖν.
μή μοι γένοιθ' ἃ βούλομ', ἀλλ' ἃ συμφέρει.
οὐδεὶς τὸ μέλλον ἀσφαλῶς βουλεύεται.

ὥρα τὰ πάντα τοῦ βίου κρίνῃ καλῶς.

Εἰς κάλλος.

μὴ κρῖν᾽ ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον.
ὡς ἡδὺ κάλλος ὅταν ἔχῃ νοῦν σώφρονα,

Εἰς κέρδος.

βίον πορίζου πάντοτε, πλὴν ἐκ κακῶν.
βουλόμεθα πλουτεῖν πάντες, ἀλλ᾽ οὐ δυνάμεθα.
βέλτιστε μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
ζήτει συνάγειν ἐκ δικαίων τὸν βίον.
ἦθος πονηρὸν φεῦγε, καὶ κέρδος κακόν.
κέρδος πονηρὸν μὴ λαβεῖν βούλου ποτέ.
κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει.
τὸ κέρδος ἡγοῦ κέρδος ἂν δίκαιον ᾖ.
τὰ δ᾽ αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.

Εἰς κρίσιν, καὶ εἰς τὴν θείαν δίκην.

κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ.
αὐτεξέταστον μὴ κόλαζε μηδένα.
ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.
ἔστιν δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ᾽ ὁρᾷ.
θεοῦ δὲ πληγὴν, οὐχ ὑπερπηδᾷ βροτός.
λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν.
ὀξὺς θεοῦ δ᾽ ὀφθαλμὸς εἰς τὸ πάνθ᾽ ὁρᾶν.

Εἰς κρύφια.

ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.
ἢ μὴ ποίει τὸ κρυπτὸν, ἢ μόνος ποίει.
ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.

Εἰς λιμόν.

λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.

Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος.
ἢ ζῆν ἀλύπως, ἢ θανεῖν εὐδαιμόνως.
θνητὸς πεφυκὼς μὴ γέλα τεθνηκότα.
καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν φέρει.
κρεῖσσον τὸ μὴ ζῆν ἐστιν, ἢ ζῆν ἀθλείως.
ὃν γὰρ φιλεῖ θεὸς, γ' ἀποθνήσκει νέος.
οὔπω ποτ' ἐζήλωσα πολυτελῆ νεκρόν.
τὸ γὰρ θανεῖν, οὐκ αἰσχρόν. ἀλλ' αἰσχρῶς θανεῖν.

Εἰς θεόν.

θεὸς συνεργῶν, πάντα ποιεῖ ῥᾳδίως.
θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.
ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.
πάντῃ γάρ ἐστι πάντα τε βλέπει θεός.
τὸ γὰρ τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν.

Εἰς ἰατρούς.

ἰατρὸς ἀδόλεσχος, νοσοῦντι πάλιν νόσος.
πολλῶν ἰατρῶν εἴσοδός μ' ἀπώλεσεν.

Εἰς καιρόν.

ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα.
καλὸν τῷ καιροῦ παντὸς εἰδέναι μέτρον.
καιρὸς γάρ ἐστι τῶν νόμων κρείττων πολύ.
καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
καιροῦ τυχὼν γὰρ πτωχὸς ἰσχύει μέγα.
πολλῶν ὁ καιρὸς γίγνεται παραίτιος.
πολλοὺς ὁ καιρὸς ἄνδρας οὐκ ὄντας ποιεῖ.
τάχιστ' ὁ καιρὸς μεταφέρει τὰ πράγματα.
τὸν καιρὸν εὔχου πάνθ' ἵλεων ἔχειν.
ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.

κοινὸν δὲ καλὸν ἐστὶ χρηστὸς εὐτυχῶν.
οὐκ ἔστιν ὅς τις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ.
πολλοὶ μὲν εὐτυχοῦσιν. οὐ φρονοῦσι δέ.
τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.
τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.

Εἰς εὐσέβειαν.

θνητὸς πεφυκὼς μὴ φρονῆς ὑπέρθεα.
θεὸν σέβου, καὶ πάντα πράξεις εὐθέως.
ὑπὲρ εὐσεβείας, καὶ λάλει, καὶ μάνθανε.

Εἰς εὐχήν.

ψυχῆς δικαίας οὐκ ἀνήκοος θεός.

Εἰς ἐρῶντα.

γέρων ἐραστής, ἐσχάτη κακὴ τύχη.

Εἰς ἔχθραν.

ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν.
ἐχθροὺς ἀμύνου μὴ ἐπὶ τῇ σαυτοῦ βλάβῃ.
ἐχθροῖς ἀπιστῶν, οὔποθ᾽ ἂν πάθοις βλάβην.
λόγον παρ᾽ ἐχθροῦ, μήποθ᾽ ἡγήσῃ φίλον..

Εἰς ζωήν

ζῆν βουλόμενος μὴ πρᾶττε θανάτου ἄξια.
ζῆν αἰσχρὸν οἷς ζῆν ἐφθόνησεν ἡ τύχη.
πάντες καλῶς ζῆν ἐθέλομεν. ἀλλ᾽ οὐ δυνάμεθα.
ὡς ἡδὺ τὸ ζῆν μὴ φθονούσης τῆς τύχης.

Εἰς ἡδονήν.

ἡ γὰρ παράκαιρος ἡδονή, τίκτει βλάβην.
ὡς πολλὰ διὰ τὰς ἡδονὰς λυπούμεθα.

Εἰς θάνατον.

δούλου δὲ χεῖρον οὐδὲν οὐδὲ τοῦ καλοῦ.
εἷς ἐστι δοῦλος οἰκίας ὁ δεσπότης.
λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν,
ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.

Εἰς δυστυχίαν.

δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.
δεῖ τοὺς μὲν εἶν δυστυχεῖς. τοὺς δ᾽ εὐτυχεῖς.
ἐπ᾽ ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν.
ἐξ ἡδονῆς γὰρ φύεται τὸ δυστυχεῖν.
μὴ μβαινε δυστυχοῦντι. κοινὴ γὰρ τύχη.
μηδέποτε σαυτὸν δυστυχῶν ἀπελπίσῃς.
νόμιζε κοινὰ πάντα δυστυχήματα.
οἴμοι. τὸ γὰρ ἄφνω δυστυχεῖν μανίαν ποιεῖ.
τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.

Εἰς ἐγκράτειαν.

γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
ἡ κοιλία καὶ πολλὰ χωρεῖ κὠλίγα.

Εἰς ἐλπίδας.

ἀνὴρ ἀτυχῶν δὲ σώζεται ταῖς ἐλπίσιν.
αἱ δ᾽ ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.
ἔλπιζε πάντα μέχρι γήρως θνητὸς ὤν.

Εἰς ἔπαινον.

ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμια.
φίλων ἔπαινον μᾶλλον, ἢ σαυτοῦ λέγε.

Εἰς εὐγενῆ.

ἀνὴρ ἄριστος οὐκ ἂν εἴη δυσγενής.

Εἰς εὐτυχίαν.

δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ.
κατ᾽ ἰδίαν φρόνησιν οὐδεὶς εὐτυχεῖ.

μεσὸν κακῶν πέφυκε φορτίον γυνή.
νύμφη δ' ἄπροικος οὐκ ἔχει παῤῥησίαν.
οὐδὲν γυναικὸς χεῖρον οὐ δὲ τῆς καλῆς.
πολλοὶ γυναικῶν δυστυχοῦσιν εἵνεκεν.
ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος.
τόρπιδυ κακὸν πέφυκεν ἀνδράσιν γυνή.
ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή.
ὑπὲρ γυναικὸς καὶ φίλου, πονητέον.
χειμὼν κατ' οἴκους ἐστὶν ἀνδράσιν γυνή.
ὡς ἔς ἄπιστον ἡ γυναικεία φύσις.

Εἰς δῆμον.

ἰσχυρὸν ὄχλος ἐστὶν, οὐκ ἔχει δὲ νοῦν.

Εἰς δίκαιον.

ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.
ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν.
ἀλλ' ὅς τις ἀδικεῖν δυνάμενος οὐ βούλεται.
βάδιζε τὴν εὐθεῖαν ἵν δίκαιος ᾖς.
βίου δικαίου γίγνεται τέλος καλόν.
δίκαιος ἴσθ' ἵνα καὶ δικαίων δὴ τύχῃς.
δίκαιος εἶν μᾶλλον, ἢ χρηστὸς θέλε.
δίκαια δράσας, συμμάχου τεύξῃ θεοῦ.
κρῖνον δίκαιον μὴ τὸ συμφέρον θέλε.
πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω.
τρόπος δίκαιος κτῆμα τιμιώτατον.

Εἰς δόξαν.

ζήτει σεαυτῷ δόξαν ἐγκαταλιπεῖν.
καλῶς ἀκούειν μᾶλλον, ἢ πλουτεῖν θέλε.
κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον,

Εἰς δούλους.

Βίου παγὶς πέφυκεν ἀνδράσιν γυνή.
γυναικὶ πάσῃ κόσμον ἡ σιγὴ φέρει.
γυναικὸς ἐσθλῆς ἐστι σώζειν οἰκίαν.
γυναικὶ κόσμος, ὁ τρόπος καὶ χρυσία.
γυνὴ δικαία τοῦ βίου σωτηρία.
γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.
γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.
γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.
γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον,
γυνὴ γὰρ οὐδὲν οἶδε πλὴν ὃ βούλεται.
γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.
γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.
γυνὴ γὰρ οἴκῳ πῆμα, καὶ σωτηρία.
γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει.
ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν.
ἐκ τῶν γυναικῶν ὄλλυται κόσμος μέγας.
ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
ζῆν οὐκ ἐᾷ γυναῖκα κατὰ πολλοὺς τρόπους.
θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή.
θηρῶν ἁπάντων ἀγριωτέρα γυνή.
θάλασσα καὶ πῦρ καὶ γυνὴ κακὰ τρία.
ἴσοι γυναικῶν ἔργα κοὐκ ἐκκλησίαι.
ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
ἴσον λεαίνης, καὶ γυναικὸς ὠμότης.
καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.
καλὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή.
λύπη παροῦσα πάντοτ' ἐστὶν ἡ γυνή.
λέοντι συζῆν, ἢ γυναικὶ συμβιοῦν.

θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.
οἷς μὲν δίδωσιν, οἷς δ᾽ ἀφαιρεῖται τύχη.
πολλοὺς κακῶς πράσσοντας, ὤρθωσεν τύχη.
πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.
ἐλέγχει παρούσης τῆς τύχης τὰ πράγματα.
στρέφει δὲ πάντα τὸν βίον μικρὰ τύχη.
τύχη τὰ θνητῶν πράγματ᾽ οὐκ εὐβουλία.
ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.
τὰ θνητὰ πάντα μεταβολὰς πολλὰς ἔχει.
χειμὼν μεταβάλλει ῥαδίως εἰς εὐδίαν.
ὡς ποικίλον πρᾶγμ᾽ ἐστι καὶ πλανὸν τύχη.

Εἰς ὕβριν.

λύσμορος ἴσθι μᾶλλον, ἢ κακηγόρος.
ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.
οὐδὲν πέπονθας δεινὸν ἂν προσποιῇ.

Εἰς ὑγείαν.

οὐκ ἔστ᾽ ὑγείας κρεῖττον οὐδὲν ἐν βίῳ.
ὑγεία καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο.

Εἰς ὑπερηφανίαν.

ἀλαζονείας οὔτις ἐκφεύγει δίκην.
ὅτ᾽ εὐτυχεῖς μάλιστα, ἂν μὴ μέγα φρόνει.

Εἰς ὕπνον.

ὕπνος δὲ θανάτου τις προμελέτη πέλει.
ὕπνος δὲ πᾶσίν ἐστιν ὑγίεια βίου
ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
ὕπνος πέφυκε σώματος σωτηρία.
ὕπνος δὲ πεῖναν τὴν κατέσχατον δαμᾷ.

Εἰς ὑπομονήν.

ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν.

δίχα δὲ σιωπῆς πικρότερον κατηγορεῖ.
ἐνίοις τὸ σιγᾶν, οὐ κρεῖττον τοῦ λέγειν.
οὐ καταφρόνητόν ἐστι σιγηρὸς τρόπος.
ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.
ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.
πολλοῖς ἀπόκρισις ἡ σιωπὴ τυγχάνει.
ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.
ἢ δεῖ σιωπᾶν, ἢ λέγειν ἀμείνονα.
κρεῖττον σιωπᾶν, ἢ λαλεῖν, ἃ μὴ πρέπει.
οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον.
σιγὴ ποτ᾽ ἐστὶν αἱρετωτέρα λόγου.
οὐ δεῖ σιωπᾶν καὶ λαλεῖν ὅπου χρεών.

Εἰς συνείδησιν.

Βροτοῖς ἅπασιν ἡ συνείδησις θεός.

Εἰς τέχνην.

λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
τύχη τέχνην εὕρηκας. οὐ τέχνη τύχην.

Εἰς τιμήν.

τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.

Εἰς τόλμαν.

εὔτολμος εἶναι κρῖνε τολμηρὸς δὲ μή.
ἔστι τὸ τολμᾶν ὦ φίλ᾽ ἀνδρὸς οὐ σοφοῦ.
περιπέτεια πολλοῖς ἐστιν αἰτία κακῶν.
τὸ πολλὰ τολμᾶν, πόλλ᾽ ἁμαρτάνειν ποιεῖ.

Εἰς τύχην.

ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης,
βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν.
δοὺς τῇ τύχῃ τὸ μικρόν, ἐκλήψῃ μέγα.
δυσπαρακολούθητον δὲ πρᾶγμ᾽ ἔσθ᾽ ἡ τύχη.

τὸ πολλὰ πράττειν ἐστὶ πανταχοῦ σαπρόν.
τὰ πολλὰ πράττειν, κὠδύνας πολλὰς ἔχει.

Εἰς πονηρούς.

ἀνὴρ πονηρὸς δυστυχεῖ κἂν εὐτυχῇ.
ἀνδρὸς πονηροῦ φεῦγε συνουσίαν ἀεί.
ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.
ἀνουθέτητόν ἐστιν ἡ πονηρία.
ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
δύσμορφος εἴην μᾶλλον, ἢ καλὸς κακός.
τὸν δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον.
ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.
ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει.
θεοῦ δ' ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.
κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός.
κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.
κακῷ σὺν ἀνδρὶ μὴ δ' ὅλως ὁδοιπόρει.
πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον.
φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.
φασὶν κακίστους οἱ πονηροὶ τοὺς καλούς.
χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.
ὡς ἔργον εὖ ζῆν ἐν πονηροῖς ἤθεσιν.
ὡς πάντα τιμῆς ἐστι, πλὴν κακοῦ τρόπου.

Εἰς προσοχήν.

εἰ μὴ φυλάσσῃς μίκρ' ἀπολεῖς τὰ μείζονα.
τῆς ἐπιμελείας πάντα δοῦλα γίγνεται.

Εἰς σιωπήν.

γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.
γλώσσῃ ματαίᾳ ζημία προσγίνεται.

Εἰς πενίαν.

πενία δ' ἀγνώμονας γε σοῦ πολλοὺς ποιεῖ.
καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς.
λεπτῶς καλῶς ζῆν κρεῖσσον, ἢ λαμπρῶς κακῶς.
μισῶ πένητα πλουσίῳ δωρούμενον.
πενίαν φέρειν, οὐ παντὸς, ἀλλ' ἀνδρὸς σοφοῦ.
πένητας ἀργοὺς οὐ τρέφει ῥαθυμία.
πενία δ' ἄτιμον καὶ τὴν εὐγενῆ ποιεῖ.
πενίαν φέρειν, καὶ γῆρας ἐστὶ δύσκολον.
οὐδὲν πενίας βαρύτερον ἐστι φορτίον.
τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.

Εἰς πίστιν.

μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.

Εἰς πλεονεξίαν.

ἰσότητα δ' αἱροῦ πλεονεξίαν φύγε.
κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία.

Εἰς πλοῦτον.

δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα
ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους.
ἥδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν.
μέμνησο πλουτῶν σοῦ πένητας ὠφελεῖν.
μὴ σπεῦδε πλουτεῖν μὴ πένης γένῃ ταχύ.
πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν.
ῥαθυμος ὢν σὺ πλούσιος, πένης ἔσῃ.
χρυσὸς δ' ἀνοίγει πάντα καὶ ᾅδου πύλας.

Εἰς πολυπραγμοσύνην.

πολυπραγμονεῖν τ' ἀλλότρια μὴ βούλου κακά.
πολλοὶ σχολὴν ἄγουσιν εἰς τὰ χείρονα.

φιλίας μέγιστος δεσμὸς, αἱ τέκνων γοναί.

Εἰς παιδείαν.

ἀναφαίρετον κτῆμ᾽ ἐστὶ παιδεία βροτοῖς.
ἅπαντας ἡ παίδευσις ἡμέρους ποιεῖ.
βραβεῖον ἀρετῆς ἐστὶν εὐπαιδευσία.
βλέπων πεπαίδευμ᾽ εἰς τὰ τῶν ἄλλων κακά.
γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα, νοῦν ἔχειν.
διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα.
βακτηρία γάρ ἐστι παιδεία βίου.
κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
καὐτοῖς ἀγροίκοις ἐστὶ παιδείας λόγος.
καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά.
τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.
ὁ γράμματ᾽ εἰδὼς καὶ περισσὸν νοῦν ἔχει.
ὁ σοφὸς ἐν αὑτῷ περιφέρει τὴν οὐσίαν.
ὁ μὴ δαρεὶς ἄνθρωπος, οὐ παιδεύεται.
ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.
οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
σοφοῖς ὁμιλῶν. καὐτὸς ἐκβήσῃ σοφός.
σοφία γάρ ἐστι καὶ μαθεῖν ὃ μὴ νοεῖς.
σοφῷ παρ᾽ ἀνδρὶ πρῶτον. εὑρέθη λόγος.
σοφὸς γὰρ οὐδεὶς ὃς τὰ πάντα προσκοπεῖ.
σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
σοφοῦ παρ᾽ ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν
σοφοὶ δὲ συγκρύπτουσιν οἰκίας βλάβας.
ὡς οὐδὲν ἡ μάθησις ἂν μὴ νοῦς παρῇ.

Εἰς παραίνεσιν.

ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ᾽ ἁμαρτάνοντες, οὐ γιγνώσκομεν.

ξένον ἀδικήσεις μηδέ ποτε καιρὸν λαβών.
ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν.
ξένος ὢν ἀπράγμων ἴσθι καὶ πράξεις καλῶς.
ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος.
ξένον δὲ, σιγᾶν κρεῖττον, ἢ κεκραγέναι.
ξένος πεφυκὼς, τοὺς ξενοδόχους σέβου.
ξένους ξένιζε, καὶ σὺ γὰρ ξένος γ᾽ ἔσῃ.
πλάνη βίον τίθησι σωφρονέστερον.

Εἰς ὅρκον.

ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε.
θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.
ὅρκον δὲ φεῦγε κἂν δικαίως ὀμνύῃς.

Εἰς ὀργήν.

ἄνθρωπος ὢν γίγνωσκε τῆς ὀργῆς κρατεῖν.
γίνου δ᾽ ἐς ὀργὴν μὴ ταχὺς, ἀλλὰ βραδύς.
βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών.
ζήσεις βίον κράτιστον, ἂν θυμοῦ κρατῇς.
θυμοῦ κρατῆσαι κἀπιθυμίας, καλόν.
νίκησον ὀργὴν, τῷ λογίζεσθαι καλῶς.
ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.
οὐδεὶς μετ᾽ ὀργῆς ἀσφαλῶς βουλεύεται.
ὀργὴ φιλούντων μικρὸν ἰσχύει χρόνον.
ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.
φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους.

Εἰς παῖδας.

αὐθαίρετος λύπη 'στὶν ἡ τέκνων σπορά.
μακάριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν.
μακάριος ὅς τις εὐτύχησεν εἰς τέκνα.
στῦλος γὰρ οἴκου, παῖδές εἰσιν ἄρρενες.

Εἰς μετάνοιαν.

ἡ δὲ μετάνοια γίγνετ' ἀνθρώποις κρίσις.

Εἰς μετριότητα.

ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί.
Βούλου δ' ἀρέσκειν πᾶσι μὴ σαυτῷ μόνον.
εἰ θνητὸς εἶ βέλτιστε θνητὰ καὶ φρόνει.
ἐν δ' εὐπροσηγόροισιν ἔστι τὶς χάρις.
ἴσος μὲν ἴσθι πᾶσι κἂν προὔχῃς βίῳ.
σωτηρίας σημεῖον ἥμερος τρόπος.
τὸ γνῶθι σαυτὸν πανταχοῦ 'στι χρήσιμον.

Εἰς μητρυιάν.

δεινότερον οὐδὲν ἄλλο μητρυιᾶς κακόν.

Εἰς νεότητα.

ἀκμὴ τὸ σύνολον οὐδὲν αὖθις διαφέρει.
μέμνησο νέος ὢν ὡς γέρων ἔσῃ ποτέ.
νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε.
νέῳ δὲ σιγᾶν μᾶλλον, ἢ λαλεῖν πρέπει.
νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.

Εἰς νόμους.

ἰσχυρὸν ὁ νόμος ἐστὶν, ἂν ἄρχοντ' ἔχῃ.
νόμῳ τὰ πάντα γίγνεται. καὶ κρίνεται.
νόμοις ἕπεσθ[illegible] ἐγχώροις καλόν.
Βίας παρὸ[illegible] νόμος.
[illegible]μαίνεται.

[illegible] ὅπως.

Εἰς λόγον.

[illegible] τοῦ λόγου.

[illegible]

[illegible]

[illegible]

[illegible] λόγος.

[illegible]

[illegible] λόγος.

ὁ λόγος ἰατρὸς τῶν κατὰ ψυχὴν πάθους.

[illegible] βίον.

[illegible] πάλιν.

ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος.

Εἰς λύπην.

ἀεὶ τὸ λυπεῖν ἐκδίωκε τοῦ βίου.

[illegible] συγγενές τι λύπη καὶ βίος.

βίον ἀλύπως [illegible] ἔχειν.

λῦπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσους.

πλοίου λιμὴν μέν, ἀλυπία δ' ὅρμος βίου.

οὐκ ἔστι λύπης χεῖρον ἀνθρώποις κακόν.

τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.

Εἰς μέθην.

καλὸν τὸ νήφειν, ἢ τὸ [illegible]

ὁ πολὺς ἄκρ[illegible]

Θνητ[illegible]

ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.

Εἰς κάλλος.

μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον.
ὡς ἡδὺ κάλλος ὅταν ἔχει νοῦν σώφρονα,

Εἰς κέρδος.

βίον πορίζου πάντοτε, πλὴν ἐκ κακῶν.
βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
βέλτιστε μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
ζήτει συνάγειν ἐκ δικαίων τὸν βίον.
ἦθος πονηρὸν φεῦγε, καὶ κέρδος κακόν.
κέρδος πονηρὸν μὴ λαβεῖν βούλου ποτέ.
κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει.
τὸ κέρδος ἡγοῦ κέρδος ἂν δίκαιον ᾖ.
τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.

Εἰς κρίσιν, καὶ εἰς τὴν θείαν δίκην.

κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ.
ἀνεξέταστον μὴ κόλαζε μηδένα.
ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.
ἔστιν δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ.
θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν.
ὀξὺς θεοῦ δ' ὀφθαλμὸς εἰς τὸ πάνθ' ὁρᾶν.

Εἰς κρύφια.

ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.
ἢ μὴ ποίει τὸ κρυπτόν, ἢ μόνος ποίει.
ὑπόνοια δεινὸν ἐστὶν ἀνθρώποις κακόν.

Εἰς λιμόν.

λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.

βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος.
ἢ ζῆν ἀλύπως, ἢ θανεῖν εὐδαιμόνως.
θνητὸς πεφυκὼς μὴ γέλα τεθνηκότα.
καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν φέρει.
κρεῖσσον τὸ μὴ ζῆν ἐστιν, ἢ ζῆν ἀθλίως.
ὃν γὰρ φιλεῖ θεός γ᾽ ἀποθνήσκει νέος
οὐπώ ποτ᾽ ἐζήλωσα πολυτελῆ νεκρόν.
τὸ γὰρ θανεῖν. οὐκ αἰσχρόν. ἀλλ᾽ αἰσχρῶς θανεῖν.

Εἰς θεόν.

θεὸς συνεργῶν, πάντα ποιεῖ ῥᾳδίως.
θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.
ὁ νοῦς γὰρ ἡμῖν ἐστιν ἐν ἑκάστῳ θεός.
πάντῃ γάρ ἐστι πάντα τε βλέπει θεός.
τὸ γὰρ τρέφον με τοῦτ᾽ ἐγὼ κρίνω θεόν.

Εἰς ἰατρούς.

ἰατρὸς ἀδόλεσχος, νοσοῦντι πάλιν νόσος.
πολλῶν ἰατρῶν εἴσοδός μ᾽ ἀπώλεσεν.

Εἰς καιρόν.

ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα.
καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.
καιρὸς γάρ ἐστι τῶν νόμων κρείττων πολύ.
καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
καιροῦ τυχὼν γὰρ πτωχὸς ἰσχύει μέγα.
πολλῶν ὁ καιρὸς γίγνεται παραίτιος.
πολλοὺς ὁ καιρὸς ἄνδρας οὐκ ὄντας ποιεῖ.
τάχισθ᾽ ὁ καιρὸς μεταφέρει τὰ πράγματα.
τὸν καιρὸν εὔχου πάνθ᾽ ἵλεων ἔχειν.
ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.

κοινὸν δὲ καλὸν ἐστὶ χρηστὸς εὐτυχῶν.
οὐκ ἔστιν ὅς τις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ.
πολλοὶ μὲν εὐτυχοῦσιν. οὐ φρονοῦσι δέ.
τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.
τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.

Εἰς εὐσέβειαν.

θνητὸς πεφυκὼς μὴ φρονῇς ὑπέρθεα.
θεὸν σέβου, καὶ πάντα πράξεις εὐθέως.
ὑπὲρ εὐσεβείας, καὶ λάλει, καὶ μάνθανε.

Εἰς εὐχήν.

ψυχῆς δικαίας οὐκ ἀνήκοος θεός.

Εἰς ἐρῶντα.

γέρων ἐραστὴς, ἐσχάτη κακὴ τύχη.

Εἰς ἔχθραν.

ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν.
ἐχθροὺς ἀμύνου μὴ ἐπὶ τῇ σαυτοῦ βλάβῃ.
ἐχθροῖς ἀπιστῶν, οὔποθ᾽ ἂν πάθοις βλάβην.
λόγον παρ᾽ ἐχθροῦ, μήποθ᾽ ἡγήσῃ φίλον..

Εἰς ζωὴν

ζῆν βουλόμενος μὴ πρᾶττε θανάτου ἄξια.
ζῆν αἰσχρὸν οἷς ζῆν ἐφθόνησεν ἡ τύχη.
πάντες καλῶς ζῆν ἐθέλομεν. ἀλλ᾽ οὐ δυνάμεθα.
ὡς ἡδὺ τὸ ζῆν μὴ φθονούσης τῆς τύχης.

Εἰς ἡδονήν.

ἡ γὰρ παράκαιρος ἡδονὴ, τίκτει βλάβην.
ὡς πολλὰ διὰ τὰς ἡδονὰς λυπούμεθα.

Εἰς θάνατον.

δούλου δὲ χεῖρον οὐδὲν οὐδὲ τοῦ καλοῦ.
εἷς ἐστὶ δοῦλος οἰκίας ὁ δεσπότης.
λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν,
ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.

Εἰς δυστυχίαν.

δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.
δεῖ σοὶ μὲν εἶναι δυστυχεῖς. σοὶ δ᾽ εὐτυχεῖς.
ἐπ᾽ ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν.
ἐξ ἡδονῆς γὰρ φύεται τὸ δυστυχεῖν.
μὴ μέμφου δυστυχοῦντι. κοινὴ γὰρ τύχη.
μηδέποτε σαυτὸν δυστυχῶν ἀπελπίσῃς.
νόμιζε κοινὰ πάντα δυστυχήματα.
οἴμοι. τὸ γὰρ ἄφνω δυστυχεῖν μανίαν ποιεῖ.
τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.

Εἰς ἐγκράτειαν.

γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
ἡ κοιλία καὶ πολλὰ χωρεῖ κὠλίγα.

Εἰς ἐλπίδας.

ἀνὴρ ἀτυχῶν δὲ σώζεται ταῖς ἐλπίσιν.
αἱ δ᾽ ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.
ἔλπιζε πάντα μέχρι γήρως θνητὸς ὤν.

Εἰς ἔπαινον.

ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμια.
φίλων ἔπαινον μᾶλλον, ἢ σαυτοῦ λέγε.

Εἰς εὐγενῆ.

ἀνὴρ ἄριστος οὐκ ἂν εἴη δυσγενής.

Εἰς εὐτυχίαν.

δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ.
κατ᾽ ἰδίαν φρόνησιν οὐδεὶς εὐτυχεῖ.

μεστὸν κακῶν πέφυκε φορτίον γυνή.
νύμφη δ' ἄπροικος οὐκ ἔχει παρρησίαν.
οὐδὲν γυναικὸς χεῖρον οὐδὲ τῆς καλῆς.
πολλοὶ γυναικῶν δυστυχοῦσιν εἵνεκεν.
ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος.
τερπνὸν κακὸν πέφυκεν ἀνδράσιν γυνή.
ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή.
ὑπὲρ γυναικὸς καὶ φίλου, πονητέον.
χειμὼν κατ' οἴκους ἐστὶν ἀνδράσιν γυνή.
ὡς ἔστ' ἄπιστον ἡ γυναικεία φύσις.

Εἰς δῆμον.

ἰσχυρὸν ὄχλος ἐστίν, οὐκ ἔχει δὲ νοῦν.

Εἰς δίκαιον.

ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.
ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν.
ἀλλ' ὅς τις ἀδικεῖν δυνάμενος οὐ βούλεται.
Βάδιζε τὴν εὐθεῖαν ἣν δίκαιος ᾖς.
Βίου δικαίου γίγνεται τέλος καλόν.
δίκαιος ἴσθ' ἵνα καὶ δικαίων δὴ τύχῃς.
δίκαιος εἶναι μᾶλλον, ἢ χρηστὸς θέλε.
δίκαια δράσας, συμμάχου τεύξῃ θεοῦ.
κρίνειν δίκαιον μὴ τὸ συμφέρον θέλε.
πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω.
τρόπος δίκαιος κτῆμα τιμιώτατον.

Εἰς δόξαν.

ζήτει σεαυτῷ δόξαν ἐγκαταλιπεῖν.
καλῶς ἀκούειν μᾶλλον, ἢ πλουτεῖν θέλε.
κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον,

Εἰς δόλους.

Βίου παγὶς πέφυκεν ἀνδράσιν γυνή.
γυναικὶ πάσῃ κόσμον ἡ σιγὴ φέρει.
γυναικὸς ἐσθλῆς ἐστὶ σώζειν οἰκίαν.
γυναικὶ κόσμος, ὁ τρόπος καὶ χρυσία.
γυνὴ δικαία τοῦ βίου σωτηρία.
γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.
γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.
γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.
γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον,
γυνὴ γὰρ οὐδὲν οἶδε πλὴν ὃ βούλεται.
γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.
γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.
γυνὴ γὰρ οἴκῳ πῆμα, καὶ σωτηρία.
γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει.
Ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν.
ἐκ τῶν γυναικῶν ὄλλυται κόσμος μέγας.
ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους.
θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή.
θηρῶν ἁπάντων ἀγριωτέρα γυνή.
θάλασσα καὶ πῦρ καὶ γυνὴ κακὰ τρία.
ἶσοι γυναικῶν ὄργα κοὐκ ἐκκλησίαι.
ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
ἶσον λεαίνης, καὶ γυναικὸς ὠμότης.
καλὸν γυναικὸς ἐσορᾶν καλοὺς τρόπους.
καλὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή.
λύπη παροῦσα πάντοτ' ἐστὶν ἡ γυνή.
λέοντι συζῆν, ἢ γυναικὶ συμβιοῦν.

ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
νόμιζε γήμας δοῦλος εἶναι τῷ βίῳ.
Ὁ μὴ γαμῶν ἄνθρωπος οὐκ ἔχει κακά.
ῥᾷον βίον ζῇς ἂν γυναῖκα μὴ τρέφῃς.
ὡς τρισκακοδαίμων ὅς τις ὢν πένης γαμεῖ.

Εἰς γέλωτα.

γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.
γελᾷ δ' ὁ μωρὸς κἄν τι μὴ γελοῖον ᾖ.

Εἰς γῆρας·

ἅπαντ' ἀφανίζει γῆρας. ἰσχὺν σώματος.
γήρως δὲ φαύλου τίς γένοιτ' ἀνατροπή.
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
ἐφόδιον εἰς τὸ γῆρας αἰεὶ κατατίθου.
ἥξει τὸ γῆρας πᾶσαν αἰτίαν φέρον.
καλὸν τὸ γηρᾶν καὶ τὸ μὴ γηρᾶν πάλιν.
ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
ὀχληρὸς ἀνήρ ἐστιν ἐν νέοις γέρων,
πολιὰ χρόνου μήνυσις οὐ φρονήσεως.
φοβοῦ τὸ γῆρας. οὐ γὰρ ἔρχεται μόνον.
χαλεπὸν τὸ γῆράς ἐστιν ἀνθρώποις βάρος.

Εἰς γονεῖς.

βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν.
γονεῖς δὲ τίμα καὶ φίλους εὐεργέτει.
ἔλπιζε τιμῶν σοὺς γονεῖς πράξειν καλῶς.
θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς.
ἱκανῶς βιώσεις γηροβοσκῶν σοὺς γονεῖς.
νόμιζε σαυτῷ σοὺς γονεῖς εἶναι θεούς.
πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.

Εἰς γυναῖκα.

βίος κέκληται δ' ὡς βίᾳ πορίζεται.
βίος βίου δεόμενος οὐκ ἔστιν βίος.
γῆ πάντα τίκτει καὶ πάλιν κομίζεται.
ζῶμεν γὰρ οὐχ ὡς θέλωμεν, ἀλλ' ὡς δυνάμεθα.
οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον ἐν οὐδενί.
τυφλὸν δὲ καὶ δύστηνον ἀνθρώποις βίος.
τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.
ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.

Εἰς βοήθειαν.

ἀνὴρ γὰρ ἄνδρα καὶ πόλις σώζει πόλιν.
χεὶρ χεῖρα νίπτει, δάκτυλός τε δάκτυλον.

Εἰς βουλήν.

ἀνὴρ ἄβουλος, εἰς κενὸν μοχθεῖ τρέχων.
ἀβουλίᾳ γὰρ πολλὰ βλάπτονται βροτοί.
ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται.
βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
βουλὴν δὲ παντὸς πράγματος προλάμβανε.
ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
ἱερὸν ἀληθῶς ἐστὶν ἡ συμβουλία.
σύμβουλος ἐσθλὸς μὴ κακὸς γίγνου φίλοις.
σοφοῦ παρ' ἀνδρὸς προσδέχου συμβουλίαν.
σοφή, σοφῶν γὰρ γίγνεται συμβουλία.
σύμβουλος ἴσθι τῶν ἀγαθῶν, μὴ τῶν κακῶν.

Εἰς γάμον.

ἄλυπον ἕξεις τὸν βίον χωρὶς γάμου.
γαμεῖν ὁ μέλλων εἰς μετάνοιαν ἔρχεται.
γάμος γὰρ ἀνθρώποισιν εὐκταῖον κακόν.
γαμεῖν δὲ μέλλων, βλέψον εἰς τοὺς γείτονας.
δαίμων σεαυτῷ πλουσίαν γήμας ἔσῃ.

εὔτακτον εἶναι τὰ ἀλλότρια δειπνοῦντα δεῖ.
ἐλευθέρου γὰρ ἀνδρὸς τἀληθῆ λέγειν.
ἐλεύθερον φύλαττε τὸν σαυτοῦ τρόπον.
καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
καρπὸς δ' ἀγαθὸς ἐστὶν εὔτακτος βίος.
λαβὲ πρόνοιαν τοῦ προσήκοντος βίου.
μακάριος ὅστις μακαρίοις ὑπηρετεῖ.
ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.
σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον.
ταμεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη.
ψυχῆς ἐπιμελοῦ τῆς σεαυτοῦ καθὰ δυνῇ.

Εἰς ἀχαριστίαν.

ἀχάριστος ὅστις εὖ παθὼν ἀμνημονεῖ.
ἀεὶ δ' ὁ σωθεὶς, ἐστὶν ἀχάριστος φύσει.
ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις.
ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ.
καλὸν δὲ θησαύρισμα κειμένη χάρις.
μετὰ τὴν δόσιν, τάχιστα γηράσκει χάρις.
χάριν λαβὼν εὔκαιρον, ἐν καιρῷ δίδου.
χάριν χαρίζου. καθ' ὅσον ἰσχύεις ὅμως.
χάριτας δικαίας, καὶ δίδου, καὶ λάμβανε.
χάριν λαβὼν, μέμνησο, καὶ δοὺς, ἐπιλάθου.

Εἰς βασιλέα.

ἀρχῆς τε τυχὼν, ἴσθι ταύτης ἄξιος.
εἰκὼν δὲ βασιλεύς ἐστιν ἔμψυχος θεοῦ.

Εἰς βίον.

ἀμελοῦντα τοῦ ζῆν, οὐκ ἔνεστ' εὐσχημονεῖν.
βιοῖ μὲν οὐδεὶς ὃν προαιρεῖται βίον.
βίος ἐστὶν ἄν τις τῷ βίῳ χαίρῃ βιῶν.

ΓΝΩΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ ΕΞ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ.

Εἰς ἀγαθοὺς ἄνδρας.

Νὴρ δὲ χρηστὸς, χρηστὸν οὐ μισεῖ ποτε.
ἀ γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται.
ἐσθλῷ γὰρ ἀνδρὶ ἐσθλὰ καὶ δίδωσι θεός.
ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.
ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.

Εἰς ἀλήθειαν.

ἡ γλῶσσ' ἁμαρτάνουσα τἀληθῆ λέγει.

Εἰς ἁμαρτίαν.

αἰσχρὸν δὲ μηδὲν πρᾶττε, μὴ δὲ μάνθανε.
δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.
ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε.
ὁ μηδὲν εἰδὼς, οὐδὲν ἐξαμαρτάνει.

Εἰς ἀνάγκην.

ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.
ὑπὸ τῆς ἀνάγκης πολλὰ ποιοῦμεν κακά.

Εἰς ἀρετήν.

ἀνάπαυσίς ἐστι τῶν κακῶν ἀπραξία.
ἃ μὴ προσήκει, μήτ' ἄκουε μήθ' ὅρα.
βέλτιόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν.

ἐρμῆς ἐστὶν. ἢ τροχαῖον μὴ παροξυτόνων, ἀλλὰ προπερισπωμένων. οἷον οἰκός ἐστι. δεῖ προσθεῖναι. ἐὰν μὴ ἔχει τὴν τελευταίαν συλλαβὴν ὁ τροχαῖος θέσει μακρὰν ὡς ἔχει τὸ φοῖνιξ ἐστὶ δοῖδυξ ἐστί. διὰ γὰρ τὴν τοῦ ξ ἐπιφορὰν, ὁ γίνεται ἔγκλισις. μὴ παροξυτόνων δὲ εἶπον. διὰ τὸ φύλλα ἐστί. παροξύτονος γὰρ οὗτος ὁ τροχαῖος. οὐχὶ προπερισπώμενος. καὶ διὰ τοῦτο τὸ ἔστιν, οὐκ ἐγκλίνεται. ἀλλ' ἐπὶ τοῦ ι, ἔχει τὴν ὀξεῖαν. γίνεται οὖν ἡ ἔγκλισις ὀξυτόνων μὲν λέξει. κακός ἐστι. παροξυτόνων δὲ, ἄκακός ἐστι, περισπωμένη δὲ, φῶς ἐστι. προπερισπωμένη δὲ, φαῦλός ἐστι. καὶ γὰρ ἐπαναγωγὴν τῶν αὐτῶν πεποιήμεθα διὰ σαφεστέραν γνῶσιν. ἐὰν δὲ μὴ οὕτως ἔχει ἤγουν ὡς προτέτακται, τὴν ὀξεῖαν ἐπὶ τοῦ ι, δέχεται, καὶ ἐὰν προκεῖται αὐτοῦ, ἢ τροχαῖον παροξύτονος, οἷον μάντις. πόρνος. ἢ προπερισπώμενος μὲν, ἔχων δὲ τὴν τελευταίαν θέσει μακρὰν, ὡς ἔχει τὸ, θώραξ. δοῖδυξ. ἢ σπονδεῖος. ὥσπερ τὸ ἥρως. ἥλως. ἢ ἴαμβος. ὡς τὸ ἔρως. γέλως. ἢ πυῤῥίχιος, καθάπερ τὸ λόγος. πόνος. τηνικαῦτα τὸν τόνον ἐπὶ τοῦ ι, δέχεται. οἷον μάντις ἐστί. δοῖδυξ ἐστί. ἥρως ἐστί. γέλως ἐστί. λόγος ἐστί.

ποσότητα δύο συλλαβῶν. τὸ δὲ μὲν γάρ τοι ἐγκλιτικόν ἐστι. ὡς ἐν τῷ εἴπου ἐσαθρήσειε τῶν πευστικῶν ἑκάστοτε ὀρθοτονουμένων. ἐκ τούτων δὲ ἀοριστούμενα, ποτέ. καὶ ποτέ τι τρὶς τόσσα. πόθι. αἴ κέ ποθι Ζεὺς πῇ. ἀλλά πη. ἄλλη. πόθεν καί ποθεν ἐλθών. πῶς οὐ γάρ πως ἅμα πάντα καὶ χωρὶς τοῦ σ. μηδέ πω ὑπ' ὄχεσφιν. Ἐκ δὲ συνδέσμων ἐγείρουσι τὴν πρὸ αὐτῶν οἵδε. ἐκ μὲν συμπλεκτικῶν, τε. καί τε θεοὶ ξείνοισι κεν. καί κεν ἐλαφρότερος, κε. καί κε τὸ βουλοίμην. ἐκ δὲ παραπληρωματικῶν, γε. εἴ γε μὲν ἤδεις. περ. εἴπερ ὅγ' οὐ χολῆς. νυ. μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο. νυν. δεῦρό νυν, ἢ τρίποδος. που. ἤ που καγχαλόωσι. περ. μὴ δ' οὕτως ἀγαθός περ ἐών. θην. οὔ θην Ἕκτορι πάντα. ῥα. ἄλλοι μὲν ῥα θεοί τε. ὁ δὲ ἄρα οὐ παραλαμβάνεται, ἐπεὶ ἀπὸ φωνήεντος ἄρχεται. ὥσπερ γὰρ αἱ ἀντωνυμίαι, τὸ κατ' ἀρχὰς ε, ἀποβάλλουσαι, ἐγκλιτικαὶ ἐγίνοντο. ἐμοῦ. μοῦ. ἐμοί. μοί. ἐμέ. μέ. οὕτω τὸ ἄρα ἀπέβαλε τὸ α. καὶ ἐγένετο ῥα. καὶ ἐνεκλίθη, καὶ ταῦτα μὲν οὕτως.

Περὶ τοῦ ἐστίν.

Τὸ, ἔστιν, ἡνίκα ἀρχὴ λόγου, ἢ ὑποτάττεται τῇ ου ἀποφάσει. ἢ τῷ καί, ἢ εἰ, ἢ ἀλλά συνδέσμῳ, ἢ τῷ ὡς ἐπιρρήματι. ἢ τῷ τοῦτο τηνικαῦτα τὴν ὀξεῖαν ἔχει ἐπὶ τοῦ ε, οἷον ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο. οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι. ὡς ἔστι τῶν αἰσχρῶν. εἰ ἔστιν οὕτως. ἀλλ' ἔστιν εἰπεῖν τοῦτ' ἔστιν ἁμάρτημα. ἐὰν δὲ ὑποτάττηται ὀξυτόνῳ λέξει, ἢ περισπωμένῃ, ἐγκλίνεται, οἷον καλός ἐστιν.

αἱ δὲ τοῦ τρίτου προσώπου ἑνικαί τε, καὶ πληθυντικαὶ, ὅτε μὲν τὸ ἐκ τῆς αὐτοῦ μεταφραζόμεναι δηλοῦσιν ὃ καὶ ἐπίταγμα λέγεται, ἐγείρουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν. ἢ μὲν ἕο. ἐπεί ἕο κήδετο λίαν. ἔστι γὰρ αὐτὶ τοῦ ἐπεὶ αὐτοῦ τοῦ ὀδυσσέος ἐκήδετο λίαν ὁ εὔμηλος. ὅτε δὲ μεταφραζομένη μετὰ τοῦ ε λέγεται ἢ χωρὶς τοῦ ι, ἐκφερομένου δασυνομένου, οὐκ ἐγείρουσιν. οἷον, δηΐφοβος δ' ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο. ἔστι γὰρ ἀφ' ἑαυτοῦ. εἰσὶ δὲ ἕο, εὗ, ἕθεν, οἷ, ἕ, σφέων, σφίσι, σφέας. αὗται δὲ, καὶ σὺν τοῖς ὑποτάγμασι λέγονται, ὅτε δὴ καὶ ὀρθοτονοῦνται πάντως. οἷον πὰρ δέ οἱ αὐτῷ. ἐὰν δὲ ἐκ περισσοῦ τὸ ἐπίταγμα λαμβάνηται ἐγκλίνονται. ἀλλ' οἱ αὐτῷ ζεὺς ὀλέσειε βίην. ἔστι γὰρ ἀλλ' αὐτῷ ψιλῶς. ὑποδείγματα τῶν ἐγκλινομένων, ἕο. ἐπεί ἕο κήδετο λίαν. εὗ, ἐπεί εὗ φημὶ βίῃ, πολυφέρτερος. ἕθεν ἐπεὶ οὐ ἕθεν ἐστὶ χερείων. οἷ, καί οἱ εὐχόμενοι. ἕ, καί ἑ κακὴ βούβρωστις. σφέων, τῷ καὶ σφεων πολέες κακὸν οἶτον ἐπέσπον. σφίσιν. ἀπὸ τέ σφισιν ὕπνος ὀλώλει, σφέας. καὶ σφεας φωνήσας. τῶν δὲ ὀρθοτονουμένων, ἕο δηΐφοβος δ' ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο. εὗ φρίξας δ' εὖ λοφιήν. ἕθεν, αἰνείας δὲ καὶ ὑπὸ ἕθεν ἀσπίδ' αἰ ἔχεν. οἷ, ἐπεὶ οὔ τινα φησὶν ὅμοιον οἷ ἔμμεναι δαναῶν, ἕ καλέονταί μιν εἰς ἕ ἕκαστος. σφῶν, σφῶν τε αὐτῶν καὶ κλισιάων. σφίσι, καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσι. σφέας, ἐρχομένων δὲ κατὰ ἄστυ διὰ σφέας. Ἐξ ὑπορρημάτων δὲ ἐγκλιτικά ἐστι, τὰ ἐκ πεύσεως ἀοριστούμενα ἔχοντα τὴν αὐτὴν ἀκολουθίαν τῶν τόνων, τήν τε

καλουμένων προστακτικῶν, ἢ κατάρχει ὅλου λόγου. ἣ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκεν, καὶ ὃς μάλα πολλὰ πλάγχθη. διὰ τοῦτο καὶ ἰδίῳ ῥήματι κατακλείεται πρὸ αὐτοῦ τε πίπτουσιν αἱ στιγμαί. καὶ δὴ ἁπάντων τῶν ὄντων πολλὰ δεῖ μόρια εὑρεῖν. ἃ εἰς τὴν προκειμένην σύνταξιν ὑπάγεται. Ἐκ δὲ ἀντωνυμιῶν αἱ μὲν ἐγκλίνουσαι τὴν ὀξεῖαν τὴν πρὸ αὐτῶν ἐγκλιματικαὶ καλοῦνται. αἱ δὲ μὴ ἐγκλίνουσαι ὀρθοτονούμεναι. αἱ μὲν οὖν ἀεὶ ἐγκλίνουσαι τὴν πρὸ αὐτῶν ὀξεῖαν, εἰσὶν αἵδε. μευ, μου, μοι, τοι, με, μιν, σφιν σφε, σφωε. τούτων παραδείγματα, τῆς μὲν μευ, κλῦθί μευ ἀργυρότοξε. μοι, οὐ γάρ μοι βωμός. τοι, καί τοι ἐγὼ συνέριθος. με, καί με φίλησ' ὡσεί τε πατὴρ φίλον υἷα. μιν, καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα. σφιν, καί σφιν ἅμ' ὅδει μέδων. σφε, γίνωσκε γάρ σφε πάρος. σφωέ. τίς τ' ἄρ σφωε θεῶν. αἱ δὲ ποτὲ μὲν ἐγκλίνουσαι τὴν πρὸς αὐτῶν. ποτὲ δὲ μή. σεῦ, σέο, σοῦ. σοι, σε, εὗ, οἱ. ἕθεν. σφι, σφῶ, σφίσι, σφέας. ὅτε μὲν οὖν ἀπολελυμένως λέγονται, καὶ οὐχὶ πρὸς ἕτερον πρόσωπον αὐτὰ διαστέλλονται, ἐγκλίνουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν. ὅτε δὲ κατὰ τὴν πρός τι ἕτερον διαστολὴν ἐκφέρονται, ὀρθοτονοῦνται. οἷον ἀπολελυμένως, σευ. ἀλλά σευ ἀκάματος. ὀρθοτονουμένως δέ, σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχήν. σέο. ἀπολελυμένως, ὡς σέο νῦν ἔραμαι. καὶ σέο πρῶτον ἔθηκα. ὀρθοτονουμένως δὲ μὴ σέο γ' ἐν ἀμφιάλῳ ἰθάκη, σφῶ. ὅτε μὲν οὖν τοῦ τρίτου προσώπου λέγεται, ἐγκλίνει τὴν πρὸ αὐτοῦ ὀξεῖαν. ὅτε δὲ τοῦ δευτέρου ὀρθοτονεῖται σφῶ δὲ μάλ' ἠθέλετον.

χθων, ἔνθά σφεας ἐκίχανεν υἱὸς δολίοιο μελανθεύς. τόξα σφεών τις ἄριστα κυδωνίω. τάξει δὲ χρῆται τῇ ὑποτακτικῇ τοῦ τοιούτου εὐλόγως πάνυ γινομένου. εἰ γὰρ διὰ τὸ ἀναπέμπειν τὴν ὀξεῖαν εἰς τὰ ὑπερκείμενα, ἐγκλιτικὰ καλεῖται, σαφὲς ὅτι ἀποδέξεται τὸ ὑποτάσσεσθαι, ἵνα ἐπὶ τὸ ἴδιωμα ἐνδείξηται. Ἐκ μὲν οὖν ὀνομάτων, ἐγκλίνει τὴν ὀξεῖαν τὸ τίς. καὶ αἱ τούτου πτώσεις. καὶ τὰ ἰσοδυναμοῦντα τούτω, ὅτι ἀορίστως ἐκφέρεται. οἷον ἦλθέ τις. ἐκάλεσέ τις, ἐνίοτε καὶ πάντοτε ὑποτακτικόν ἐστι. τὸ μὲν οὖν τις, ἐγκλίσει ἐν τῷ εἰ μέν τοις τὸν ὄνειρον τινὸς μή τινος. τινὶ, ὅτινι κοιμηθεῖσα, τινὰ, καί τινα πρωΐαδην. τινὲς, οἵτινες ἀνέρες εἰσίν. τινὰς, ὅς τινὰς μεθιέντας ἴδοι. ἰσοδυναμεῖ δὲ τῷ μὲν τινὸς. τὸ τοῦ. ἀλλ' ὅτου οἶδα. τῷ δὲ τινὶ, τὸ τῷ οἷον ὅτε σοί, ὅτε τῳ ἄλλῳ. Ἐκ δὲ ῥημάτων, τὸ εἰμὶ καὶ φημὶ μόνα ἐγκλιτικά εἰσίν. οἷον ὅσον σέο φέρτερός εἰμι. καὶ ἀπὸ τούτου ἐγκλιτικά εἰσιν. εἰς οἷον, αἵματος εἰς ἀγαθοῖο. ἐσσί, ἐπειδὴ πολὺ φέρτερός ἐσσι. ἐστὸν, ὅμοι σκυζομένω περ ἀχαιῶν φέρτεροι ἐστον. ἐσμὲν, αὐτοί γάρ ἐσμεν. εἰσίν, οἵ με φέρτεροί εἰσι νοῆσαί τε, κρίναί τε. καὶ τὸ φημὶ, πεζὸς δ' ἐνδεκά φημι κατὰ προίων ἐρίβωλον. ἐκ δὲ μετοχῶν οὐκ. οἷον τέ ἐστιν ἐγκλιτικὸν τοῦ ἐν μόριον. ἀεὶ γὰρ ταῦτα ἐκ θέματος ἀνάγεται. αἱ δὲ μεταλήψεις ῥημάτων εἰσίν. ἀλλ' ὁ δὲ ἐξ ἄρθρου. τῇ γὰρ συντάξει ἡ παράθεσις τῶν ἄρθρων μάχεται. ἅπαντα γὰρ ταῦτα προτακτικά ἐστιν οὐχ ἥκιστα δὲ τὰ ὑποτακτικὰ ἀρκτικώτερα ὄντα. τῶν

λέξεως ὀξεῖαν.

Δ σαφέστερ δὲ ἐγκλινόμενον ἐγκλιτικοῦ. ἣ τὸ μὲν ἐγκλινόμενον κοινὸν ὄνομα πάσης λέξεώς ἐστι κατὰ τὸ τέλος ὀξυνομένης, τρεπούσης τε εἰς βαρεῖαν. τὸ δὲ ἐν ἰδίοις θέμασι καταλαμβανόμενον ἀριθμῷ ἰδίῳ. καὶ ὅτι τὸ μὲν, αὐτὴν μόνην τὴν ἐπὶ τέλους ὀξεῖαν ἀμείβει εἰς βαρεῖαν. τὸ δὲ, καὶ μετατίθησιν εἰς τὴν ὑποκειμένην συλλαβήν. εἰ τὰ τοῦ λόγου ἐπιδέχοιτο.

Γ ἂν τοίνυν ἐγκλιτικὸν μόριον, ἢ μονοσύλλαβόν ἐστιν, ἢ δισύλλαβον. ἐπεὶ πᾶν ἐγκλιτικὸν ὑπὲρ μίαν συλλαβὴν, τρίχρονόν ἐστιν. ἀναπέμπει τε τὴν ὀξεῖαν ἐπὶ τὴν ὑποκειμένην βαρεῖαν ἐν τῇ συντάξει καθόλου ἐπὶ μόνων τῶν προπαροξυτόνων, καὶ προπερισπωμένων. οἷον ἀρκεσίλαόν τε, χοῖόν τε, σκῶλόν τε. οὐδέποτε δὲ ἐπὶ τῶν περισπωμένων, διὰ τὸ τὴν περισπωμένην μηδὲν πάσχειν ἐν τῇ συντάξει. ἐπὶ δὲ τῶν παροξυτόνων μόνων τῶν τροχαίων. λαμπέ τε, φύλλά τε, καὶ φλοιόν. οὐδέποτε δὲ τοῦτο ἐν σπονδείῳ παρακολουθεῖ. ὡς δὴ ἐπὶ τοῦ ἀτρείδης τε ἄναξ ἀνδρῶν, φοίβῳ θ' ἱερὴν ἑκατόμβην. ἀλλ' οὐδὲ ἐν ἰάμβῳ. πάρος γέ μεν οὔτι θαμίζεις. ἀλλ' οὐδὲ ἐν τῷ πυῤῥιχίῳ. ὅτι οἱ συμφράζατο βουλάς. ἐὰν δέ ποτε τροχαῖος γένηται διπλασιασθέντος τοῦ τ. ἔσονται ἐπάλληλοι ὀξεῖαι. οἷον, ὅτι μιν ὡς ὑπέδεκτο. πλὴν εἰ μὴ τὸ ἐπιφερόμενον μόριον δισύλλαβον εἴη ἀπὸ τοῦ σφ, ἀρχόμενον. ἀκολουθήσει γὰρ τοῖς παροξυνομένοις οὐκ ἐν μόνῳ τροχαίῳ, ἀλλὰ καὶ ἐν ἄλλοις ποσίν. οἷον, ἵνα σφῶιν δώῃ κῦδος ἐμοί-

εἴη προθέσεως, μετὰ ταῦτα δὲ ὅπως δεῖ ἐρωτηματίζειν κατὰ τὴν ἐκτεθεῖσαν τὴν δὲ ἡμῖν μέθοδον λέγομεν.

ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΕΓΚΛΙΝΟΜΕΝΩΝ ΚΑΙ ΕΓΚΛΙΤΙΚΩΝ, ΚΑΙ ΣΥΝΕΓΚΛΙΤΙΚΩΝ ΜΟΡΙΩΝ.

ε

Γκλινόμενόν ἐστι μόριον, λέξις κατὰ τὸ τέλος ὀξυνομένη, τρέπουσα δὲ εἰς βαρεῖαν κατὰ τὴν τοῦ λόγου σύνταξιν, καθάπερ ἔχει. ἡ μὲν μητρυιὴ περικαλλὴς ἐρίβοια.

Ε γκλιτικόν ἐστι μόριον. ὃ τὴν ἰδίαν ὀξεῖαν κοιμίζουσα τὴν προκειμένην βαρεῖαν, εἰς ὀξεῖαν μεθίστησιν. ᾧ ἢ δυνάμει, ἢ φύσει, ἑτέρα βαρεῖα ὑπόκειται. δυνάμει μὲν ὡς τὸ, δῶμά τά μοι. φύσει δὲ καθάπερ ἀρκεσίλαός τε.

Σ υνεγκλιτικὸν δέ ἐστι σύνταξις δυοῖν, ἢ πλειόνων μορίων ἐγκλιτικῶν ἐπ' ἀλλήλων ὀξυνομένων. ὡς ἔχει τὰ τοιαῦτα, ἤνυσέ που δέος ἴσχει. ὁ μὲν γὰρ η, ὀξύνεται διὰ τὸ νυ, ἐγκλιτικόν. τὸ δὲ νυ, διὰ τὴν ἀντωνυμίαν, τὴν σε· ἡ δὲ σε, ἀντωνυμία διὰ τὸν ποῦ παραπληρωματικὸν σύνδεσμον. εἴρηται δὲ συνεγκλιτικὸν, διὰ τὸ σὺν ἐγκλιτικῷ παραλαμβανόμενον διεγείρειν τὴν ὑποκειμένην ἐν τῷ τέλει τῆς

καὶ ἐροῦντας, καὶ εἰπὼν ἂν ἢ εἰπόντων. ὁμοίως ἂν δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἥκιστα δ' ὁ παρακείμενος τῆς ἂν ἐπιδεκτικὸς, τὰ μὲν δὴ μέρη οὕτω συντάσσοντες κατ' ἄλληλον ἂν ποιεῖμεν τὸν λόγον.

Περὶ τῆς ἀπαγγέλλειν διαστολῆς.

Ἀπαγγέλλειν δὲ τὰ συντεταγμένα μὴ μόνον καθ' ὑπόκρισίν τε, καὶ προσῳδίαν. ἀλλὰ καὶ κατὰ διαστολήν. οὕτω γὰρ ἂν ἡ τοῦ λόγου διάνοια εἴη συμφανεστέρα. καὶ γράφοντας οὖν τι στικτέον εἰς διαστολὴν, ἢ φθεγγομένους διακριτέον τριχῶς. ἢ γὰρ τελείως, ἢ ἀτελῶς, ἢ μέσως. Ἔνθα μὲν γὰρ τὰ περὶ τὴν ἔννοιαν συναποτελούμενα λήγει τοῖς κώλοις, διασταλτέον ἐπὶ τέλει ἐννοίας τὸν λόγον καὶ πλέον τι χρόνον ἀποσηματιστέον εἰς ἀπόδοσιν τῆς τελείου. Ἔνθα δὲ ἀτελῶς πάμπαν ἔχει. ὑπανίσταντας ἐπὶ τῆς φωνῆς καὶ ἐπ' ἐλάχιστον διαστηματίζοντάς γε ἀπαγγελτέον. Μέσως δέ τοι, τὰ κώλων τε καὶ τῶν ἐντελοῦς ἀπαρτιστικὰ κόμματα ἀκριβωτέον. οἷον ἐγὼ μὲν, διδάσκω. σὺ δὲ μανθάνεις. Καὶ στίζειν δὲ γράφοντας κατὰ τὰς εἰρημένας διαφορὰς, τὸ μὲν τέλειον ἐφεξῆς ἐν τῷ μέσῳ, τὸ δ' ἀτελὲς παρεκκλίνοντας πρὸς τὸ κάτω. τὸ δὲ μέσον παρεκκλίνοντας πρὸς τὸ ἄνω. Καὶ περὶ μὲν κλίσεως σχηματισμοῦ, καὶ διαιρέσεως, καὶ ὀνομασίας, καὶ προσῳδίας, καὶ ὀρθογραφίας, καὶ χρόνου, καὶ συντάξεως τῶν γραμματικῶν, καὶ ὅλως περὶ βαρβαρισμοῦ, καὶ σολοικισμοῦ, ἔστω δὴ εἰρημένον ἀποχρώντως ὡς ἐν εἰσαγωγῇ. τὸ γὰρ ἐπὶ πλέον, καὶ ἀκριβέστερον περὶ τούτων εἰπεῖν, ἥκιστ' ἂν τῆς παρούσης

πᾶς ἄνθρωπος ζῶον. ἀλλὰ μὴν πᾶν ζῶον οὐσία. πᾶς ἄρα ἄνθρωπος οὐσία.

Ἀπορρηματικοί.

Οἱ δ᾽ ἀπορρηματικοί, ἐπ᾽ ἀποροῦντι καὶ ἐρωτῶντί τι εἰς χρῆσιν ἥκουσιν. ἆρ᾽ οὖν ἀγαθὸν τὸ ἡδύ; προηγοῦνται δὲ τῶν λόγων εἰ μή τί γε καθ᾽ ὑπερβατόν.

Παραπληρωματικοί.

Οἱ δὲ παραπληρωματικοί, τὸ μὲν ὄνομα ἔχον ἀπὸ τοῦ τὴν φράσιν παραπληροῦν, ἢ μέτρου, ἢ κόσμου χάριν. ἔχουσι δὲ πολλάκις καὶ σημασίαν διάφορον. οἷον ὁ γε, μειωτικός. ὁ δὴ παραγραφικὸς καὶ μεταβατικός. καὶ βεβαιωτικὸς ὁ αὖ διωνητικὸς καὶ ἀοριστικός. πάντες γε μὴν τοῖς ἑτέροις τοῦ λόγου μέρεσιν ὑποτάσσονται. οἷον ἄλλοι μὲν ῥᾶ θεοί. Ὁ δὲ αν, καὶ ὑποτάσσεται ἀοριστολογικὸς ὤν. ὅσα ἂν λέγῃς. ὅσα ἂν εἴπῃς. Δυνητικὸς δέ, κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος, πρὸς εὐκτικόν. οὐκ ἂν λέγοις, οὐκ ἂν φαίης. οὐκ ἂν λέξοις. εἴτε προτάσσοιτο. εἴτε ὑποτάσσοιτο. καὶ πρὸς ὁριστικὸν οὐκ ἂν ἐρεῖς. ἀλλὰ σπανίως τοῦτό γε. κατὰ δὲ παρῳχηκότος πρὸς ὁριστικόν, οὐκ ἂν εἶπες, ἢ ἔλεγες. Ἔτι δὲ γνωριμώτερον ἂν μὲν καὶ πρὸ τοῦ ῥήματος καὶ μετὰ τὸ ῥῆμα δύνηται ὁ ἂν θεωρεῖσθαι ἀδιαφόρως πρὸς εὐκτικόν. ἂν δὲ μὴ ἐπαμφοτερίζῃ τοῖς τόποις, πρὸς ὑποτακτικὸν μόνον. Καὶ μεταλαμβάνοντες τὸ ἀπαρέμφατον πρὸς τὴν τοῦ ὁριστικοῦ κατάλληλον σύνταξιν. λέγω μὲν δυνητικὸς κατὰ τὰς τρεῖς τοῦ χρόνου διαφορὰς λέγειν ἄν. εἰπεῖν ἄν. καὶ ἐρεῖν ἄν. Καὶ πρὸς μετοχήν. εἰπόντας ἂν

ποιοῦσιν, ἔνιοι τούτων ἐὰν μάθω. ἵνα διδάξω. καὶ ἐπιρρηματικῶς. ἐπειδὰν διδάξω. ἢ ὅταν διδάξω.

Ογε μὴν ἵνα. καὶ τὰ ἰσοδυναμοῦντα, καὶ πρὸς εὐκτικὸν ἔτι συντάσσονται, εἰ περὶ παρῳχημένου ὁ λόγος. οἷον ἀφίκετο ἵνα θεᾶτο. καὶ πρὸς ὁριστικὸν παρατατικὸν, ἔνθα τι περὶ παρῳχημένου ἀξιοῦμεν ὑπάρχειν, ἢ μή. οἷον ἔχρῆν αὐτὸν λαβεῖν συγγραφὴν, ἵν' εἶχεν ἀπαιτεῖν κατὰ νόμους. Τό γε μὴν ὅπως αὐτὶ τοῦ πῶς, παραγγελματικῶς πρὸς ὁριστικὸν μέλλοντα. σκοπεῖτε δὲ τοῦτο ὅπως μὴ λόγους ἐροῦσιν. ἄλλως δὲ παντὶ ἐφαρμόζεται χρόνῳ. Πρὸς ὁριστικὸν δὲ ὅ ὅτι. καὶ τὰ ἰσοδυναμοῦντα. ὅτι οὐδεὶς μαθὸς οὐδὲ τέχνη. Τὸ δ' ἐφῷ πρός τε ὁριστικὸν, καὶ πρὸς ἀπαρέμφατον ἐφῷ ἔγραψεν. ἐφῷ κομίσονται. ἐφῷ μεμαθῆσθαι. Τὸ δὲ ἕνεκα, γενικῆς. τὸ δὲ οὕνεκα τὸν χρύσην ἠτίμησ' ἀρητῆρα, ἰωνικόν. Ο δὲ γὰρ, παντὶ μέρει λόγου ὑποτάσσεται. καὶ ἀρκτικὸς οὐδαμοῦ ἐστιν. ἢ γὰρ οὐδὲ γάρ. οὐδὲ δύναντος υἱός.

Εναντιωματικοί.

Οἱ δὲ λεγόμενοι ἐναντιωματικοὶ, καὶ προτάσσονται τῶν λέξεων ἢ ὑποτάσσονται. λόγου μέν τοι προτάσσεσθαι, οὐδαμοῦ πεφύκασιν. ἔκαμον παραινῶν, ἀλλ' ὅμως παραινέσομαι ἔτι. καί τοι ἀδήλων, ὅμως οὐκ ἔχον καταλαβεῖν.

Συλλογιστικοί.

Τῶν δὲ συλλογιστικῶν, οἷον ταῖς ἐπιφοραῖς τε καὶ συμπεράσμασι προσωκειωμένων. ὁ ἄλλα, ἢ ἄλλαμήν, προτακτικός ἐστι λέξεως μόνως. οἱ δ' ἄλλοι πάντες καὶ προτάσσεσθαι καὶ ὑποτάσσεσθαι δύνανται.

λουθίαν δέ τινα καὶ τάξιν δηλοῦντες, συνάπτουσι μὲν ἀτελεῖς ἐννοίας. συντάσσονται δὲ κατά τε ὀρθὸν καὶ ἀνεστραμμένον. ἢ γὰρ προηγοῦνται, ἢ ἐπάγονται. καὶ προηγουμένοις μὲν τὸ ὀρθόν, εἴπερ γάρ τε χόλον γε, καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ, ἐπιφερομένοις δὲ τὸ ἀντεστραμμένον. ἦ κεν γηθήσαι πρίαμος πριάμοιό τε παῖδες, ἄλλοι τε τρῶες. εἰ σφῷν τάδε πάντα πυθοίατο. μαρναμένοιιν καὶ πρὸς ὑποτακτικὸν μὲν οὖν τὸν εἰ, συντακτέον. ἄλλως τε καὶ εἰ σὺν τῷ κε λαμβάνοιτο, καὶ ὅλως μεθ' ἑτέρων συνδέσμων. Καὶ πρὸς εὐκτικὸν, καὶ πρὸς ὁριστικὸν, ὡς ἔτυχεν ὁμολογίας, ἢ ἀμφιλογίας, ἢ ἀκολουθήσεις. Ἔοικε γὰρ ἐπὶ μὲν ὁμολογουμένων, τὸ ὁριστικόν τε, καὶ ὑποτακτικὸν βούλεσθαι. Ἐπεὶ δὲ ἐνδοιαζομένων τὸ εὐκτικόν. ὅθεν δὴ καὶ τὸν δυνητικὸν ἂν, ἐπὶ τὸ τοιοῦτο οἰκειοτέρως ἂν ἀποδοίημεν. οἷον εἰ ἡδονὴ τ' ἀγαθὸν εἴη, ταύτῃ ἂν αἱροῖτο ἡ εὐδαιμονία ἀλλ' οὐκ ἀεὶ οὕτως ἡ χρῆσις κατὰ παρῳχημένου γε μὴν πράγματος τὸ ὁριστικὸν ἀεί. εἰ ἦν. εἰ καὶ ἦν.

Παρασυναπτικός.

Παραπλησίως δέ τοι καὶ οἱ παρασυναπτικοὶ συντάσσονται. πλὴν ὅτι καὶ ὕπαρξιν μετὰ τάξεως σημαίνουσιν οὗτοί γε.

Αἰτιολογικός.

Οἱ δ' αἰτιολογικοὶ, προτακτικοί τέ εἰσι τῶν λέξεων. πλὴν τοι γάρ, καὶ κατ' ὀρθὸν, καὶ ἀντεστραμμένον συντάσσονται. καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων

ὅσσοι κληρώσαντο χθόνα. ποιητικοὶ δέ γε οὗτοι· οἷος δὴ καὶ ὁ ἤτοι ἀρκτικὸς λόγου. καὶ αὐτὸς ὢν ἤτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο.

Διαζευκτικός.

Οἱ δὲ διαζευκτικοί, τὰ διεζευγμένα συντιθέασι. καὶ ἢ πρᾶγμα ἀπὸ πράγματος, ἢ πρόσωπον ἀπὸ προσώπου διαζευγνῦντες τὴν φράσιν συνδοῦσιν. νῦν ἄρκιον, ἢ ἀπολέσθαι ἠὲ σωθῆναι. εἷς δέ τις ἀνὴρ βουληφόρος ἔστω. ἢ αἴας, ἢ ἰδομενεύς, ἢ δῖος ὀδυσσεύς. ὁ γοῦν ἤτοι, ἰσοδυναμῶν τῷ ἤ, προτακτικός ἐστι τοῦ ἤ. ἤτοι ἀγαθόν, ἢ φαῦλον. ἰσοδυναμῶν δὲ τῷ μὲν ἀρκτικὸς γίνεται λόγου τοῖς ποιηταῖς ὡς εἴρηται ἤτοι ὅγ' ὣς εἰπών. διαζευγνύων μὲν τοίνυν ὁ ἢ ἀόριστος, οὐκ αὐτὸ ἑτέρου λέγεται. ἤτοι προσκειμένου, ἢ νοουμένου. ὡρισμένως δὲ εἴτ' οὖν διασαφητικῶς μόνος κεῖται, βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. σημαίνει γὰρ τὸ καὶ οὐκ ἀπολέσθαι. ὅθεν ἴσως καὶ ἀναιρετικὸς ἂν οἰκείως προσαγορεύοιτο. μοναδικῶς δὲ συντάσσεται, καὶ ἀπορρηματικῶς. ὢν ἢ λυκίοις ἀπορρηματικός. τί δὲ λαὸν ἤγαγεν ἐνθάδε, ἢ οὐκ ἑλένης ἕνεκ' ἠϋκόμοιο. τί δή ποτε ὁ πορνοβοσκὸς τραπεζόντιος ἀγνοεῖ, τὸ τοῦ ἤ, σημαινόμενον ἢ ὅτι οὐδέπω ποτε ἔμαθεν. τὸ δὲ ἢ μάλα δὴ τέθνηκε μενοιτίου ἄλκιμος υἱός, καὶ τὰ ὅμοια, ἀπορρηματικὴν σύνταξιν ἔχει τῶν βεβαιωτικῶν. οἷον δὴ καὶ τὸ ἢ θέμις. τῶν ὁμοιωματικῶν.

Συναπτικός.

Οἱ δὲ συναπτικοί, τουτέστιν οἳ ὕπαρξιν μὲν οὔ, ἀκολουθίαν

τον τὴν αὐτὴν ἔγκλισιν. ἀλλ᾽ οὐκ ἔστιν ἀνάγκης. οἷον καὶ γράφω, καὶ νοῶ. ἢ γράφω, ἢ νοῶ. καὶ ὁ ἐμὸς δοῦλος καὶ ὁ σός. Καὶ ἔξεστι δὲ ἐπὶ τῆς αὐτῆς συντάξεως συνάπτειν ἀρθρικὰς εὐθείας ταῖς γενικαῖς. οἷον ἄριστα τὰ ὁμηρικὰ ἔπη καὶ τὰ ἡσιόδου. Διαφερούσης δὲ τῆς ἐγκλίσεως, τὸ αὐτὸ ῥῆμα φυλάττεσθαί γε ἀνάγκη. οἷον, καὶ γράφω, καὶ γράφοιμι. καὶ ἔλεγες, καὶ λέγε. Τῆς αὐτῆς δὲ οὔσης, διάφορα κεῖται τὰ ῥήματα. καὶ περιπατῶ. καὶ διαλέγομαι, καὶ πτώσεις δὲ τὰς αὐτὰς ἀπαιτοῦσιν οἵτε συμπλεκτικοὶ καὶ διαζευκτικοί, ἡγούμενοί τε καὶ μεταξὺ τιθέμενοι, ἐπὰν πρὸς τὸ αὐτὸ ἀναφέρονται ῥῆμα. οἷον καὶ ἐγὼ καὶ σὺ γράφομεν. ἢ ἐμοῦ, ἢ σοῦ φείδεται. Ο δὲ μὲν, λέξεως μὲν, οὐδαμοῦ ἀρκτικός. λόγου δέ. Ο δέ τοι δὲ, ἐπακτικὸς ὢν καὶ λόγου, καὶ λέξεως ἐπακολουθητικός ἐστι τοῦ μέν. ἄλλοι μὲν ῥα θεοί εὗδον παννύχιοι. δία δ᾽ οὐχ ἔχε νήδυμος ὕπνος. τυγχάνει δ᾽ ὁ αὐτὸς, καὶ μεταβατικὸς ὤν, ὡς διὰ αὐτοῦ γινομένων τῶν περὶ τὸ νόημα καὶ διήγημα μεταβάσεων. Ο ἀτὰρ, καὶ αὐτὰρ ἀρκτικοί. καί τοι τῷ δὲ ἰσοδυναμοῦντες. αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο, ἀτὰρ ὅτοι μοι ἕνθα δὲ βίον. Ο δ᾽ ἀλλὰ ἐστὶν ἐπιτακτικός. τυδεὺς μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής. ὥστ᾽ εἴη ἂν καὶ τοῦ μὲν, ἐπακολουθητικὸς δὴ καὶ οὗτος. Ο δὲ ἤμεν, καὶ ἠδὲ, ἀρκτικοί. ἀλλ᾽ ὁ μὲν ἤμεν λόγου καὶ λέξεως. ὁ δὲ ἠδὲ, λέξεως μόνης. τοῦ ἤμεν ἐπακολουθῶν. ἤμεν ὅσοι ναίουσι οὐρανόν. ἠδὲ

τις ἀρχὴ ἔσται τῶν ἑπομένων. εἶεν τί δῆθ' ὁ παῖς ὁ τοῦ λαερτίου.

Περὶ συνδέσμου.

Ὁ δὲ σύνδεσμος λέξις συνδετικὴ οὖσα τῶν ἑτέρων τοῦ λόγου μερῶν εἰς κατάλληλον σύνθεσίν τε καὶ τάξιν, τὰ ὅμοια συνάπτει ἀεί. ὄνομα γὰρ ὀνόματι, καὶ ῥῆμα ῥήματι, καὶ εὐθεῖαν, εὐθείᾳ. καὶ ὅλως πτῶσιν ὁμοίᾳ πτώσει, καὶ χρόνον ὁμοίως καὶ ἔγκλισιν, καὶ τὰ λοιπὰ δὲ ὁμοίως. σύνταξιν δὲ διαφόρως κατὰ τὴν αὐτοῦ διαφορὰν τῶν εἰδῶν ἔχει.

Συμπλεκτικός.

Τῶν οὖν περὶ πολὺ ἐκφερομένην τὴν ἑρμηνείαν συμπλεκόντων καὶ διὰ τοῦτο συμπλεκτικῶν καλουμένων.

Ὁ μὲν καί, προτάσσεται τῶν λέξεων.

Ὁ δὲ τέ, ὑποφέρεται ἐγκλινόμενος. θεοί τε καὶ ἀνέρες. καὶ οὕτω τοι ἀλλήλοις συντάσσονται, ὥς τε σύν τε, προηγεῖσθαι τοῦ καί. ἀρχικὸς δὲ ὑπάρχων ὁ καί, δεῖ πάντως, καὶ ἕτερον καί, ὑποφέρεσθαι, ἤτοι ῥῆμα συμπλέκοντα ῥήματι. ἢ ὄνομα ὀνόματι. ὅπως ἔτυχε συνταξάμενος ὁ πρῶτος. εἰ γάρ τις λέγοι καὶ περιπατεῖ σωκράτης, ὑποφέροι ἂν ἐξ ἀνάγκης, καὶ διαλέγεται. ἢ τοιοῦτό τοι. εἰ δὲ καὶ σωκράτης γράφει λέγοι, ἐποίσει δή που καὶ πλάτων, ἢ ἄλλος τις. Καθόλου γάρ τοι ἡγούμενος ὁ συμπλεκτικός, ἢ ὁ διαζευκτικός, ὅμοιον ἀπαιτεῖ μέρος ἤτοι πτωτικόν, ἢ ἄπτωτον. καὶ εἰ μὲν πτωτικόν, τὴν αὐτὴν πτῶσιν. εἰ δὲ ἄπτω-

πεὶ καὶ ἐπειδὴ χρονικόν. οὐ μόνον πρὸς ὁριστικόν, ἀλλὰ καὶ πρὸς συνετικόν. ἐπειδὴ γένοιτο.

Τ ὰ δ' εὐκτικὰ, εὐκτικῷ, καὶ ὁριστικῷ, ὡς εἴρηται.

Τ ὰ δὲ παρακελευστικὰ τοῖς δευτέροις τῶν προστακτικῶν καὶ προσέτι τοῖς αὐθυποτάκτοις. ἄγε λέγω μὲν, φέρε, εἰπέ. τοῖς τρίτοις δὲ τὸ ἀπαγορευτικὸν μὴ λεγέτω. μὴ τυψάτω. οἰκεῖον δ' ὡς εἴρηται καὶ ταῖς ἄλλαις ἐγκλίσεσι. μὴ γνῶς. μὴ γνώῃς. μὴ γνῶναι.

Γ λὴν τῇ ὁριστικῇ. ταύτης γὰρ τὸ ἀποφατικὸν ἴδιον. οὐ λέγω ναὶ λέγω. τὸ γὰρ μὴν δὴ ἐμὴν ἰσότητα αὐτῇ τοῦ οὐ.

Ο μοίως δὲ καὶ τὰ εἰκαστικά. ἴσως ἐρῶ. εἰ δ' εὐκτικῷ. οὐκ ἂν εἴη χωρὶς συνδέσμου. ἴσως φαίη ἄν.

Κ οινὸν δὲ τοῦτο τῶν ῥηματικῶν συντασσομένων ἁπάντων. οἷον εὖ ἂν ἔχοι. πόῤῥω ἂν εἴη. νὴ δί' εἴποιμ' ἄν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Κ αὶ τὰ παραβολικὰ δὲ ὁριστικοῖς. ὡς εἶπον οὕτως ἔγραψα.

Κ αὶ τὰ δεικτικὰ ῥηματικῶς. ἰδοὺ ἥκειν εἰς τέλος. ἰδοὺ ὁ αἰνὸς ἐλλείπτικὸς τοῦ ὑπαρκτικοῦ.

Κ αὶ τὰ ἀνετικά. ἠρέμα λέγειν. μόγις δύναται.

Τ ὸ δ' ἀποστακτικὸν, ἀπαρεμφάτῳ ὥς τε λέγειν. καὶ εὐκτικῷ. ὥστε λέγοι ἄν. καὶ ἔτι ὁριστικῷ. ὥς τε λέγει. τὸ πηλικόν τε οὐ μόνον τοῦ ῥήματος, ἀλλὰ καὶ ὀνόματος ὁμοιωματικοῦ, ἢ παρισωτικοῦ. οἷον τοιοῦτός ἐστιν, ὥς τε καὶ νοεῖν, καὶ λέγειν τὰ δέοντα. τηλικοῦτος ὥς τε ἅπαντας ὑπερβάλλειν. καὶ οὕτως ὥς τε πάντας θαυμάζειν.

Τ ὸ δ' ἀποθετικὸν εἶχεν, λόγου μακροτέρου πέρας καί

Κατὰ τὰ διαιρετικά. χωρὶς τῶν ἄλλων.

Καὶ τὰ ποσότητος. ἅπαξ ἢ δὶς τῆς ἡμέρας. τρὶς τοῦ μηνός. τετράκις καὶ πολλάκις τοῦ ἐνιαυτοῦ.

Καὶ τὰ τακτικά. τὰ δύο ἐφεξῆς τοῦ ἑνός. καὶ ἡ δευτέρα τῆς νουμηνίας.

Τὰ δὲ ἀθροιστικά, δοτικῇ. ὁμοῦ. καὶ ἅμα τοῖς ἄλλοις καὶ χωρίς.

Τὰ δὲ ὀμοτικά, αἰτιατικῇ μόνως, νὴ δία οὐκ εἶπον. μὰ δί' οὐκ εἶπον.

Τὰ δὲ ἐρωτηματικὰ ἀοριστούμενα καὶ ἢ τοπικὰ γινόμενα, ἢ τροπικὰ ἐγκλίνεται. εἰ μὴ τρισυλλαβία κωλύῃ. οὐδὲν γὰρ ἐγκλίνεται ὑπερδισύλλαβον ὄν. πόθεν ἔρχῃ; ἐλθὼν δέ ποθεν. πῶς ἔχεις, οὕτω πως ἔχεις. ἔξεστι δὲ καὶ τὸ πότε καὶ τοῦ ἕως ἐρωτήσει, τῷ ἕως καὶ μέχρι, καὶ ἄχρι ὑποτάσσειν. οἷον ἕως πότε. ἄχρι ποῦ. μέχρι που.

Τὰ δὲ βεβαιωτικά, ὁριστικοῖς. λέγεις ὅτι ἥξεις. οὕτω δὴ κείνεις. τό γε μὴν ὅτι ἐστὶ πρὸς εὐκτικόν, εἰ περὶ παρῳχημένου. τουτέστι διηγηματικῶς. οἷον ἤγγελλεν ὅτι γένοιτο. καὶ εἴη. καὶ ἔσοιτο.

Ὅθεν δῆλον καὶ ὡς διχῶς τὸ διηγηματικόν. ἢ γὰρ ἐντονωτέρως, ὡς τὸ ἀπαρέμφατον λέγεται γενέσθαι· ἢ ὑπτιωτέρως ὡς τό, τε ὁριστικὸν καὶ εὐκτικὸν ὡς εἴρηται. ὅλως δ' εἰπεῖν τὸ παρεληλυθὸς φιλευκτικόν τι ἔοικεν ὄν.

Ἀπαγορευτικά.

Ὁπότε καὶ τὸ ἀπαγορευτικὸν ἀπὸ μὲν ἐνεστῶτος πρὸς ὑποτακτικόν. δέδοικα μὴ ᾖ. ἀπὸ δὲ παρῳχημένου πρὸς εὐκτικόν. ἐδεδοίκειν, μὴ εἴη. καὶ τὸ ἐ-

μεσότητος κατηγορεῖται τῶν ῥημάτων. οἷον γράφει πάνυ καλῶς. καὶ τρέχει λίαν ταχέως. καὶ χωρὶς δὲ ταῦτα λέγεται. λίαν πονεῖ. σφόδρα ἀθυμεῖ. Αὐτῇ δὲ τῇ μεσότητι καὶ τῶν τούτοις ἰσοδυνάμων καθόλου μὲν τὸ ῥηματικόν. ζῇ σωφρόνως. ἀξίως γε εὐτυχεῖ. κατὰ μέρος δέ τοι ὡς ἕκαστον ἔχει παραγωγῆς, οὕτω δὴ καὶ συντάξεταί γε τῷ πτωτικῷ. τῇ γὰρ ἀρχῇ συνῳδὸν εἶναι χρεών. ἀξίως ὢν λόγου, ὅτι ἄξιος λόγου. καὶ ὁμοίως τοῖς ἄλλοις, ὅτι ὅμοιος τοῖς ἄλλοις καὶ καταφρονητικῶς τῶν εὐτελεστέρων, ὅτι καταφρονῶ τῶν εὐτελεστέρων. οἷον δὴ καὶ τὸ ἄριστα πάντων. κοινὸν δὲ τῶν τοιούτων καὶ ἡ προσκειμένη τῷ ἔχω γενική. οὕτως ἔχω γνώμης. πονήρως ἔχω τοῦ σώματος.

Τοπικά.

Τὰ δὲ τοπικὰ γενικῇ. ἔξω τῆς χώρας. ἐνταῦθα τοῦ λόγου. ποῦ γῆς. ἄλλη πη τῆς οἰκείας. καὶ χωρὶς. ἐνταῦθά που. σαφέστερον μέν τοι καὶ εὐχρηστότερον, ἐπ' ἐνίων τὸ φράζειν προθετοπτώτως. οἴκοι ἐν ᾅδου. οἴκαδε εἰς τοῦ πολεμάρχου. πάντα δὲ τὸ προσῆκον σχέσιν ἠρεμίας τε καὶ κινήσεως ἕξει προσκείμενον, οἷον οἴκοι εἰμι. πορεύομαι οἴκαδε.

Παραθετικά.

Καὶ τὰ συγκριτικὰ δὲ καὶ ὑπερθετικὰ ὁμοίως εἰς γενικήν. μᾶλλον τῶν ἄλλων φιλοσοφεῖ καὶ μάλιστα πάντων. τὰ δὲ συγκριτικὰ καὶ πρὸς εὐθεῖαν μεσοσυλλαβοῦντος τοῦ, ἢ μᾶλλον, ἢ ἄλλοι.

Ἐπὶ τὰ ἀποκρυπτικά. κρύφα, ἢ λάθρα τῶν ἄλλων ποιεῖ.

πολὺ ἀφετικώτερον, ὡς καὶ τὸ πρώϊον.

Καὶ τὸ πρὶν ἐν παραλληλότητι πρὸς ὁριστικόν. πρὶν, εἶπεν. οὐ μὴν ἀλλὰ καὶ σὺν ἀπαρεμφάτῳ. πρὶν εἰπεῖν. καὶ διὰ μέσου τοῦ ἢ πρὶν, ἢ εἰπεῖν ὥσπερ διὰ τοιαν, ἐπὶ μέλλοντος πράγματος. πρὶν ἂν γένηται. πρὶν γένηται.

Ὁμοίως δὲ καὶ τὸ ἕως, καὶ τὰ ἰσοδυναμοῦντα. ἕως παρατείνω. καὶ ἕως παρατείναι.

Τὸ δὲ ὅτε, ἀδιαφόρως τοῖς χρόνοις πρὸς ὁριστικὸν εἰ μὴ δυνητικόν τι ἐπινοοῖτο. εὐκτικοῦ γὰρ τὸ δυνητικόν. ὅτε βούλοιτο.

Καὶ τὸ οὐκέτι, καὶ τὸ οὐδέποτε καὶ τὸ ἀεί.

Τὸ δὲ οὐδεπώποτε μόνον ἐπὶ παρῳχημένου.

Ὥσπερ τοὐναντίον τὸ εἰσαεὶ καὶ αὖθις ἐπὶ μέλλοντος. εἰσαεὶ ἔσται κίνησις. αὖθις διδάξω.

Τὸ δὲ οὔπω, παρῳχημένου τε, καὶ ἐνεστῶτος, οὔπω γίνεται. οὔπω γέγονεν.

Ἔστι δ' ὡς ἁπλῶς εἰπεῖν, καὶ πρὸς γενικὴν ἀποδίδοται τὰ χρονικὰ κτητικῶς πως οἷόν ποτε τοῦ χρόνου οὐδέποτε τῶν χρόνων. τὸ γε μὴν χωρὶς γενικῆς πολὺ ἐν τῷ λόγῳ.

Ἔστι δὲ καὶ τῶν χρονικῶν. τὰ μὲν ἀναφορικά. τὰ δὲ, ἀπολελυμένα. ὥς τε καὶ προσηγοῖ του ἀλλήλων. τότε, ὅτε. τηνικαῦτα. ἡνίκα. τέως. ἕως.

Ἐπιτατικά.

Τὰ δὲ ἐπιτατικά, ταῖς τε ἐπιθέσεσι τῶν ὀνομάτων συντάσσεται πᾶσιν, ὑπερθετικῶν χρείαν ἀναπληροῦντα. οἷον, λίαν σοφὸς, πάνυ τίμιος, καὶ ἀναφορικῶς. ὁ λίαν σοφὸς, μεσοσυλλαβοῦντα τῶν τε τοῦ

θετικοῖς, καὶ αὐτοῦ τινὸς ἐπ᾽ ἐκφορᾶς πτωτικῆς.

Τ ὰ μὲν οὖν πτωτικῶς συντάσσεται. φοῦ τοῦ μέγεθος.

Τ ὰ δὲ, ῥηματικῶς εὖ ἔχει.

Τ ὰ δὲ συναμφοτέρως, πόῤῥω ἡμῶν οἰκεῖς. καὶ τὰ μὲν συναμφοτέρως, καὶ ῥηματικῶς. οἷον πόῤῥω οἰκεῖ.

Τ ὰ δὲ ῥηματικῶς, ἢ πτωτικῶς, οὐκ ἐξ ἀνάγκης δὴ καὶ συναμφοτέρως.

Χρονικά.

Τ ῶν δὲ χρονικῶν τὸ μὲν νῦν πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντάσσεται. πλὴν τοῦ ὑπερσυντελίκου.

Ν ῦν πράττω. νῦν αὐτ᾽ ἔγχει πρήσομαι. νῦν μὲν δὴ Μενέλαος νίκησε σὺν ἄθλων. καὶ δηλοῦν μὲν τὸ τοῦ χρόνου ἐνεστηκός, ἐνεστῶτι συντάσσεται μόνῳ καὶ ἀρκτικὸν γίνεται λόγου. ἀκολουθίαν δὲ ἵνα σῶζον προηγουμένου. οὐτ᾽ ἀρκτικὸν ἐστὶ λόγου καὶ ἀεὶ τῷ δὲ συνδέσμῳ συνάπτεται. οἷον μὲν ὤμην ταῦτ᾽ ἐκεῖνον ἐρεῖν. νῦν δὲ οὐδὲν τούτων εἴρηκεν. αὐτὶ παράκειται δὲ τοῦ ἐνεστῶτος νῦν, τὸ αὐτίκα καὶ ἄρτι. νῦν ποιῶ ἄρτι πεποίηκα αὐτίκα ποιήσω.

Ο μοίως δ᾽ ἔχει καὶ τὸ χθὲς καὶ αὔριον, πρὸς τὸ σήμερον εἰρῆσθαι δὲ δεῖ καὶ αὔριον ἔρχομαι εἰ πρὸς θυμοῦ τὸ μέλλον γίγνεσθαι ἐπὶ πλέον πιστοῦσθαι.

Κ οινὸν δὲ καὶ τὸ ὅτε, καὶ τότε, πλὴν τοῦ παρακειμένου.

Τ ὸ δὲ πρωῒ, καὶ πάλαι, ἴδια τοῦ παρῳχημένου. πάλαι ποτ᾽ ἦσαν. πρωῒ ἐλήλυθεν.

Τ ὸ δὲ ἤδη, κοινὸν μέλλοντος καὶ παρήκοντος. ἤδη βεβάδικα. ἤδη βαδίσω. λέγεταί τε ἐπὶ τῶν μὴ

λέγεσθαι. τὰ τοιαῦτά φασι. βοῦν σίτου ὠνοῦμαι. ἐνδεῖν γὰρ τὴν διά. πολὺς τὸν λόγον ἐνδεῖν τὴν κατά. ἡδὺ τῆς φυσῆς ἀναπνεῖ. καὶ δρέπομαι τῶν ἀνθέων. καὶ πίνω τοῦ ὕδατος. καὶ κρεμῶσι τοῦ ποδὸς, ἐνδεῖν τὴν ἀπό.

Περὶ ἐπιρρήματος.

Τὸ δ' ἐπίρρημα, πρὸς τὰ ῥήματα ἔχει τὴν σύνταξιν· ἀεὶ γὰρ ῥήματι προσάγεται, ἢ ἐφέπεται ταῖς λεγομέναις ἐνεργείαις ἐπιλεγόμενον, ὅθεν καὶ τὴν προσηγορίαν ἀπηνέγκατο καὶ τὸν λόγον. ἔστι καὶ γὰρ μέρος λόγου ἄπτωτον κατὰ ῥήματος λεγόμενον, ἢ ἐπιλεγόμενον ῥήματι, καὶ οἷον ἐπίθετον ῥήματος.

Καθάπερ οὖν τὰ τῶν ὀνομάτων ἐπίθετα τῶν κυρίων κατηγορεῖται καὶ προσηγορικῶν, οὕτω δὴ καὶ τὰ ἐπιρρήματα. κἂν γάρ τοι μεταξὺ τοῦ ῥήματος, καὶ ἐπιρρήματος τύχῃ παραπεσόντα πλείονα ἄττα, ὅμως μὲν τοι αὐτὸ τὸ ἐπίρρημα πρὸς τὸ ῥῆμα ἀναφερόμενον λέγεται. Καὶ μὲν δὴ πλείω πολλάκις συμπλέκοντες ἐπιρρήματα ἑνὶ τῷ ῥήματι ἐκδίδομεν ἱκανῶς. οἷον καλῶς καὶ εὐσεβῶς καὶ δεόντως πεποίηκας. κοινὸν δὲ τὸ τοιοῦτο. Ἔχει μὲν οὖν τὰ ἐπιρρήματα τὴν σύνταξιν πρὸς τὸ ῥῆμα, πλὴν τοῦ κλητικοῦ ἐπιφθέγματος καὶ τῶν σχετλιαστικῶν, καὶ θαυμαστικῶν καὶ τῶν θετικῶν.

Τὸ μὲν γάρ τοι πρὸς κλητικήν. ὦ φίλε πῶλε, τὰ δὲ πρὸς γενικήν. φεῦ τῶν κακῶν. ὢ τοῦ μεγέθους.

Σχετλιαστικὰ καὶ θετικά.

Τὰ δὲ πρὸς δοτικήν, ἢ αἰτιατικήν. χρηστέον ἡμῖν χρηστέον ἡμᾶς. ἔστι δὲ χρῆσθαι σχετλιαστικοῖς τε, καὶ

Ἐνίοτε δὲ καὶ αἱ δισύλλαβοι λήγουσαι, ὅμως οὐκ ἀναστρέφονται. οἷον ἰθάκην κατὰ κοιρανέουσι. καὶ εὗρε δὲ πατρόκλῳ περικείμενον.

Εἰ δὲ μεταξὺ δυεῖν ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν κυρίου. τοῦ δὲ, προσηγορικοῦ, ἢ ἐπιθέτου, ἀναστρέφειν δεῖ, ἵνα τοῦ ὅλου προηγήσεται λόγου. οἷον ποταμοῦ ἄπο σελλήεντος. καὶ ξάνθῳ ἔπι δινήεντι.

Ὡσαύτως δὲ κἂν μεταξὺ κυρίων δυοῖν προσηγορικῶν κέηται, συνδέσμου μετὰ τὴν πρόθεσιν ἐπιφερομένου. οἷον νηῶν ἄπο, καὶ κλισιάων. ἀγαμέμνονος πέρι, καὶ ἀχιλλέως. κἂν μεταξὺ μὲν ἐμπίπτῃ καὶ μηδὲν ἕτερον μέρος λόγου μετασυλλαβῇ, ὑποτάττηται δὲ ὅπερ ἐχρῆν προηγεῖσθαι, ἀναστρέφεται ἔτι. οἷον ᾧ ἔπι πόλλ' ἐμόγησα. ἰθάκῃ ἐνὶ οἰκία ναίων θεῶν ἄπο μήδεα εἰδώς. ἐὰν δὲ μεταξὺ προθέσεως καὶ τοῦ ῥήματος, ἢ τοῦ ὀνόματος πρὸς ὃ ἡ πρόθεσις, μέρος λόγου ἕτερον παρεμπίπτῃ, οὐκ ἀναστρέφεται. τῷ δ' ἐπὶ τυδείδης ὦρτο.

Εἰ μέν τοι εἴη ἐπὶ τέλει τοῦ ἔπους, καὶ ἁπλῶς εἰπεῖν ἐν στιγμῇ νοήματος, ἀναστρέφεται καὶ μετασυλλαβοῦντός του. πάντων δ' ἔπλυσε πολὺ κάτα. Καὶ αἱ παθοῦσαι δὲ ἔκθλιψιν τοῦ φωνήεντος οὐκ ἀναστρέφονται. εἰ μὴ στιγμὴ ἐπιφέροιτό τις. ἢ τὸ σημαινόμενον διαφθείροιτο μὴ ἀναστρεφομένης. ὡς ἐπὶ τοῦ στεῦτο γὰρ ἡφαίστοιο παρ' οἰσέμεν ὅπλα.

Ποιηταὶ μὲν οὖν κατὰ τὰς προθέσεις ἐνίοτε σίζουσι. λογογράφοι δ' οὔ. ὅτι μὴ ἐπὶ τῆς πρός. ταύτην γὰρ μόνην καὶ πρὸ στιγμῆς τάττουσιν. ὡς τὸ καὶ μικρόν τι πρός. Ἔνιοι δὲ καὶ κατ' ἔλλειψιν προθέσεων

Συντεθεῖσαι δὲ τοῖς ῥήμασιν αἱ προθέσεις, τὴν ἰδίαν ἔτι φυλάττουσαι σημασίαν, ἀπαιτοῦσι τὴν αὐτῶν πτῶσιν ὡς ἁπλῶς εἰπεῖν ἅπασαι. κατηγορῶ σου. ἀφίσταμαί σου. ὑπερέχω σου. παραινῶ σοι. ὅτι μὴ ἐπὶ τῶν κτητικῶν καὶ περιποιητικῶν ἐμφοροῦμαι. ἐντρυφῶ. καὶ παραπολαύω σου. καὶ προστίθημί σοι. ἡ γε μὴν κατὰ συντεθεῖσα καὶ οὕτω μένει ὁμοιοπτώτως. καταδικάζ πάντα. κατειπέ μοι. καὶ ταῦτα μέν τοι, καὶ εἴ τι ὡς σύνθετον οὕτω προφέροι τὸ ἕτερον. μὴ δὲ τοῦ προθετικοῦ ἰδιώματος ἀπολείπεσθαι, οὐδὲν ἂν κωλύοι. κατειπεῖν οὖν ἑτέρου καὶ καταδικάζειν. καὶ καθορᾶν. καλείσθω δὲ τὸ μὲν προθετικόν. τὸ δὲ ῥηματικόν.

Ἀναστροφή.

Ἀναστρέφονται δὲ αἱ μὲν μονοσύλλαβοι ἐν τέλει που τῶν ἐπῶν. ὡς ἐπὶ τῶν ὁμηρικῶν ἐκείνων. οὐ μέν τοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ. καὶ ἦλθεν ἀργυρότοξος ἀρτέμιδι ξύν. τῶν δὲ δισυλλάβων ἔν τε τοῖς πεζοῖς καὶ ἐν τοῖς ἐμμέτροις. πλὴν τῆς διά, καὶ ἀνά ἵνα μὴ συνεμπέσῃ ἡ μὲν, τῇ διὰ αἰτιατικῇ. ἡ δὲ, τῇ ἄνα κλητικῇ ὦ ἄνα λητοῦς υἱέ. ὀρθοτονεῖσθαι γὰρ ἐπὶ τῆς παραληγούσης ὀρθεία τάσει ἀνάγκη. αἱ δὲ τρίχρονοι οὔ. οἷον ἀντί, καὶ ἀμφί. ὅθεν οὐδὲ αἱ τὸ ι, πλεονάζουσαι. οἷον καταί. παραί. ὑπείρ. ἅτε δὴ γινόμεναι τρίχρονοι. ἡ δὲ ἐν, προσλαβοῦσα τὸ ι, καὶ γινομένη ἐνὶ καὶ δισυλλαβήσασα. καὶ διχρονήσασα ἀναστρέφεται. οἷον ἡμετέρῳ ἐνὶ οἴκῳ. καὶ ᾧ ἔνι κούρη κοιμᾶται.

ἰσχυρᾷ. αἰτιατικῇ δὲ, κίνησίν τινα λέγουσα ἐπὶ τὴν ἀττικὴν ἐπορεύθη. καὶ γενικῇ δὲ τοῦτο ἔστιν ἰδεῖν ὅ τε δηλοῖ. ἐπὶ οἴκου. καὶ ἐπὶ τῆς χώρας. ὀρθῶς μὲν καὶ ἀττικῶς, οὐ κατὰ πολλὴν δέ τινα χρῆσιν.

ΠΕΡΙ.

Η δὲ περὶ, γενικῇ μὲν αἰτιολογοῦσα. περὶ παιδείας ὡς γράφω. τὸ δὲ περί τοῦ δεδεῖχθαι μοναδικόν. αἰτιατικῇ δὲ τὸ κύκλῳ σημαίνουσα καὶ περιποιητικὸν, ἢ συσταλτικόν. οἷον περὶ τὴν πόλιν τὸ στράτευμα. τὸ δ' ἐρωτήσει περὶ δορὶ καὶ περὶ πύργῳ, ποιητικά.

ΑΜΦΙ.

Η δὲ ἀμφὶ, ὡς ὁμοιόσημός τέ ἐστιν καὶ ὁμοιοσύντακτος τῇ περί. συνηθεστέρα μὲν τοί γε ἡ περί.

ΑΠΟ.

Η δὲ ἀπὸ, ἀεὶ, γενικῇ ἀπὸ δικαίου. ἀφ' ἑτέρου.

ΥΠΟ.

Η δὲ ὑπὸ, γενικῇ αἰτιολογοῦσα τὸ ποιητικόν. οὐδὲ ὑπὸ τεχνίας εὐεργετῶ. καὶ ἔτι τὸ ὑποκάτω σημαίνουσα. ὑφ' εἵματος κεύθοντα χεῖρα. ὁ δὴ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντασσομένη δηλοῖ. ὑπὸ δένδρον καὶ ὑπὸ δένδρῳ.

ΥΠΕΡ.

Η δὲ ὑπὲρ, γενικῇ μὲν ἐπὶ βοηθείας. οἷον ὑπὲρ κτησιφῶντος ὁ λόγος. καὶ αἰτιολογίας ὁμοίως τῇ περί. ὑπὲρ ὧν εἶπον πάλιν ἐρῶ. καὶ ὅταν τὸ ἐπάνω δηλοῖ ὑπὲρ κανόνος τίθησι τὸ πηδάλιον. αἰτιατικῇ δὲ τὸ πλέον τι, καὶ ἐπέκεινα, καὶ ὅλως ὑπερκείμενον ἀναφέρεται. οἷον ὑπὲρ ἄνθρωπόν τί ἐστι ὁ θεὸς εὐ-δίας.

ἐπορεύόμην διὰ ἀγορᾶς. αἰτιατικῇ δὲ, αἰτίαν. διὰ σὲ ταῦτα γράφω. ὅμηρος δὲ ἐπὶ τὸ μέσον αἰτιατικῇ φιλότε φράζει. διά τε ἔντεα καὶ μέλαν αἷμα.

ΜΕΤΑ.

Η δὲ μετα, γενικῇ μὲν τὸ ὁμοῦ σημαίνουσα. ἡδὺς μετὰ φίλων ὁ βίος. τὸ δὲ μετὰ τριτάτοισιν ἄνασσε ποιητικόν. αἰτιατικῇ δὲ τὸ ὕστερον μετὰ τὴν ἑορτήν. καὶ πλάτων μετὰ σωκράτη.

ΠΑΡΑ.

Η δὲ παρα, γενικῇ μὲν, τὴν ἀπὸ προσώπου σημαίνουσα κίνησιν. οἷον παρὰ θεοῦ τἀγαθά. ἡ μὲν γὰρ ἀπο καὶ ἐκ τῇ ἀπὸ τόπου μάλιστα κινήσει οἰκεῖαι. ἡ δὲ παρα καὶ προς. τῇ ἀπὸ προσώπου. δοτικῇ δὲ στάσιν ἐπὶ τὸ ἐγγύς. παρ' ἐμοὶ διατρίβει. αἰτιατικῇ δὲ, κίνησιν ἐπί τι. παρὰ σὲ ἔρχομαι. ἢ τὸ διὰ τι. παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ ἔξω σκοποῦ καὶ ἐπαγγελίας. οἷον παρὰ γνώμην συμβαίνει.

ΑΝΤΙ.

Η αντι ἀεὶ γενικῇ. ἀντὶ πολλῶν. ἀνθ' ὅνος.

ΕΠΙ.

Η δ' ἐπι, γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ. γενικῇ μὲν, χρόνον δηλοῦσα. ἐπὶ ἄρχοντος ἀθήνησι πυθοδώρου. ἢ τὸ περὶ καὶ ζητεῖν. ἐπὶ πολλῶν μάθοι τις ἂν τὰ λεγόμενα. ἢ τὸ ἐπάνω. τὰ τετράποδα ἐπὶ γῆς. δοτικῇ δὲ αἰτιολογοῦσα τὸ οὗ ἕνεκα. οἷον ἐπὶ ἀγαθῷ πάντα ἐποίει. ἢ δύναμιν καὶ αὐτεξούσιον δηλοῦσα. ἐπὶ τῷ βασιλεῖ τὰ τῶν ὑπηκόων. ἢ τὸ ὕστερόν τε καὶ δεύτερόν γε τοῦ. ἐπὶ τούτοις πολλὰ ἕτερα δείξει. ἢ τὸ ἐπάνω. ἐπὶ κρατὶ δ' ὁ τεῖχος ἔστηκεν

Η δὲ πρὸς, γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ. γενικῇ μὲν ὅταν τὴν ἀπὸ προσώπου σημαίνῃ κίνησιν. πρὸς θεοῦ τ' ἀγαθά, ἢ τάσιν τοῦ ὑπὲρ ὅρκου. ἥκε πρὸς θεοῦ. ἢ τὸ ἐναντίον δηλοῖ πρός τε θεῶν μακάρων. πρός τε θνητῶν ἀνθρώπων. ἢ τὸ καθῆκον. οὐ πρὸς ἰατροῦ σοφοῦ θροεῖν ἐπῳδάς. δοτικῇ δέ, ὅταν τὸ ἐγγύς τε καὶ παρακείμενον. οἷον πρὸς τοῖς ποσίν. αἰτιατικῇ δὲ ὅταν κίνησιν πρὸς ἔμψυχον μάλιστά τι. καὶ ὡς ἄλλως δὴ εἴρηται. καὶ ἔτι ὅταν, ἢ σχέσιν τινὰ καὶ λόγον ὡς τὰ δύο πρὸς τὰ τέσσαρα· οὕτω καὶ τὰ τέσσαρα πρὸς τὰ ὀκτώ, ἢ παράδειγμα. ἄδω πρὸς αὐλόν.

ΠΡΟ.

Η δὲ πρὸ, ἀεὶ γενικῇ. πρὸ τῶν θυρῶν. πρὸ τοῦ χρόνου.

ΑΝΑ.

Η δὲ ἀνὰ, ἀεὶ αἰτιατικῇ. ἀνά τε ἔντεα καὶ μέλαν αἷμα.

ΚΑΤΑ.

Η δὲ κατα, γενικῇ καὶ αἰτιατικῇ. γενικῇ μὲν ὑπὲρ καταφορᾶς καὶ κατηγορίας. κατὰ αἰσχίνου λόγος. καὶ ὅταν τὸ ἐπάνω καὶ περί τι, ἢ περί του δηλοῖ, κατὰ γῆς κάθημαι. κατ' ἀνθρώπου, τὸ ζῷον. τὸ δὲ κατ' ὀλύμποιο καρήνων ἀντὶ τοῦ ἀπό. αἰτιατικῇ δὲ ὅταν τὸ παραβαλλόμενόν τε καὶ ὅμοιον. οἷον καθ' ὅμηρον. καὶ κατὰ νοῦν προχωρεῖ. ἢ τὸ περί τι καὶ ἔν τινι. καθ' ὁδὸν ταῦτα ἐποίουν. καὶ ἔμενον κατὰ χώραν. ἢ χρόνον. ὁ καθ' ἡμᾶς γεγονὼς ἀνὴρ ἔνδοξος.

ΔΙΑ.

Η δὲ διὰ, γενικῇ μὲν ἐνέργειαν τινα, ἢ τὸ μέσον δηλοῦσα. διὰ σοῦ ταῦτα ἂν ἄμεινον γίγνοιτο. καὶ

συντάξιν ἐπέχει συνδεσμικήν. τοῖς γε μὴν ῥήμασιν ἀεὶ κατὰ σύνθεσιν αἱ προθέσεις. οἷον καταγράφω. καὶ προκαλοῦμαι. ἐν δὲ θατέρῳ τε ἡ κλίσις κατέγραφον, εἴπερ τοῦ ἁπλοῦ διαφέρειν δηλοῦται ἐκ τῆς συνθέσεως. εἰ γὰρ μηδέν τι πλέον, ἔξωθεν ἡ κλίσις καθάπερ καὶ τοῖς ἁπλοῖς, καθεύδω, ἐκάθευδον. καθέζομαι, ἐκαθεζόμην. πρόθεσις δὲ κατὰ παράθεσιν σὺν εὐθείᾳ, ἢ κλητικῇ οὐδέ ποτε τάξεται. συντάσσεται δὲ ταῖς πλαγίαις ὧδε.

ΕΝ.

Η μὲν ἐν, ἀεὶ δοτικῇ. ἐν οἴκῳ. ἐν ἀγορᾷ. τὸ δ' ἐν ᾅδου καὶ ἐν διδασκάλου ἐλλειπτικῶς. δεῖ γὰρ κἀνταῦθα ὑπονοεῖν, τὴν τόπῳ, καὶ οἴκῳ δοτικήν.

ΕΙΣ.

Η δὲ εἰς, ἀεὶ αἰτιατικῇ. εἰς ἐκκλησίαν εἰς ἀγοράν. τὸ δὲ εἰς ᾅδου. καὶ εἰς διδασκάλου ἐλλειπτικῶς, ὡς καὶ ἐπὶ τῆς ἐν. ἀλλὰ γὰρ τῶν μὲν ἀψύχων, τῇ εἰς. τῶν δ' ἐμψύχων τῇ πρὸς μάλιστά γε χρηστέον. πορεύομαι εἰς ἀγοράν. πέμπω τὸ χρυσίον πρὸς σέ. ἰδιαίτερον δὲ τῇ μὲν εἰς τῶν ἐπαίνων καὶ ἀναφορᾶς, τῇ δὲ πρὸς, τὸ ἀνάπαλιν. ἀνήνεγκε μὲν γὰρ εἰς τὸν ἄρχοντα φαμέν. καὶ ὕμνους εἰς ἀπόλλωνα. πολεμεῖ δὲ πρὸς ὁμόρους. καθ' ἣν δὴ ἔννοιαν καὶ τῇ εἰς ἔστιν, ὅτε χρηστέον ἠγνωμονήκεσαν εἰς ἡμᾶς.

ΕΞ.

Η δὲ ἐξ, ἀεὶ γενικῇ. ἐξ ἀττικῆς. ἐκ μεγάρων.

ΣΥΝ.

Η δὲ σύν, ἀεὶ δοτικῇ. σὺν θεῷ. σὺν λόγῳ.

ΠΡΟΣ.

Γ ἀπαράπλησια δέ πως τουτοισί, καὶ ἡ τοῦ ἀλλήλου σύνταξις, δι᾽ αὐτοπαθῶν γὰρ τοῦ ὅλου ἀθροίσματος, καὶ ταῦτα ἐπὶ τῶν συμπλεκομένων λαμβανόντες λέγομεν ἀλλήλους. ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσιν. ὅτι γε μὴν οὐ τὰ μέρη καθ᾽ ἕκαστον ὑφ᾽ ἑαυτῶν πάσχει ἀλλ᾽ ὑφ᾽ ἑτέρου ἀμοιβαδὸν, προσαγορευθείη ἡμῖν μὴ αὐτοπαθὲς τὸ τοιοῦτο, ἀλλ᾽ ἀλληλοπαθές. δῆλον δ᾽ ἄρα καὶ ὡς αἱ τοιαῦται αὐτωνυμίαι, ῥήματα οὐκ ἂν παραλέγοιντο παθητικά. τὸ γὰρ αὐτοπαθὲς ἐνέργεια τοῦ εἰς ἑαυτὸ ἐνεργοῦντός ἐστιν, ὡς εἴρηται.

Περὶ προθέσεως

Η δὲ προτιθεμένη λέξις πάντων τῶν τοῦ λόγου μερῶν καὶ διὰ τοῦτο πρόθεσις ὀνομαζομένη, διήρηται μὲν πρότερον. ἐνταῦθα δὲ ὅπως συντάξεται θεωρῶμεν. προτίθεται μὲν οὖν τῶν τοῦ λόγου μερῶν, ἢ κατὰ σύνθεσιν, ἢ κατὰ παράθεσιν. συνθέσεως μὲν γὰρ τὸ σύνοικος. πάροικος. ἔποικος. μέτοικος. παραθέσεως δέ, τὸ ἐπὶ τὴν αἰτιατικήν. ἢ κατὰ τῆς αἰτιατικῆς. ταύτην δὲ τὴν ἐκ παραθέσεως σύνταξιν δηλοῦν βούλονται, καὶ οἱ προτίθεσθαι, λέγοντες ἔν τε συνθέσει καὶ συντάξει.

Ε οἴονται δ᾽ αἱ προθέσεις συνδεσμικοῖς συντάξεως γινόμεναι παρεμφατικαί. ὅθεν καὶ τοῖς στωϊκοῖς προθετικοὶ σύνδεσμοι ἐκαλοῦντο. τὸ γὰρ διά τι λυπῇ, τὸ ἕνεκά τινος λυπῇ, παρεμφαίνει, καὶ τὸ ἐκ ῥαθυμίας, τὸ ἕνεκα ῥαθυμίας. οὐ δὴ οὖν ἀπεμφαῖνον, εἰ καὶ τὸ ὅτι παραδεξάμενον τὴν διά, καὶ κατά,

ξις. ἤτοι ἀπὸ τοῦ κεκτημένου ἐπὶ τὸ κτῆμα, ἢ ἀνάπαλιν. ἔνθα δὴ καὶ μεταλαμβάνειν ἔξεστιν ὄνομα ἰσοδυναμοῦν. οἷον τὸ ἴδιον. ἢ οἰκεῖον. ἢ τοιοῦτό τι. Σωκράτης τὸν ἑαυτοῦ παῖδα παιδεύει. καὶ τὸν ἴδιον παῖδα. πρός τε αὐτῷ τῷ ὀνόματι καὶ τὴν γενικὴν τοῦ συνθέτου συντάσσειν. ἀφίημι κληρονόμον τὸν ἴδιον ἐμαυτοῦ παῖδα. φιλεῖ πᾶς ὅς τισοῦν τὸν ἴδιον ἑαυτοῦ υἱόν. ὁμήρου ἴδιον τὸ βιβλίον. τῇ ἰδίᾳ τοῦ λέγοντος ἐπιμελείᾳ.

Κοινὸν δὲ ταυτὸ τοῦτο καὶ πρὸς τὰς κτητικάς. οἷον σὸν ἄρα ἐστὶν ὦ σώκρατες, καὶ τοῦτο γνῶναι τοῦ πάντα τὰ δίκαια ἐν ἡμῖν εἰδότος καὶ τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου βίον. τὸ δ᾽ ἐμὲ αὐτὸν ὠφελεῖ ἐπιτακτικῶς λέγεται πρὸς τὸ ἐμὲ ὠφελεῖ ἀπολελυμένον.

Ὅτι δὲ τὸ σύνθετον ἐπὶ μόνων τῶν ἐνικῶν. διὰ τοῦτο τῇ ἀναφορικῇ συντάσσοντες ταῖς ἁπλαῖς χρώμεθα ὁμοιοτρόπως ἐπί τε δυϊκοῦ καὶ πληθυντικοῦ. οἷον νῶϊ αὐτὼ ὠφελοῦμεν. νῶϊ αὐτοῖν ἁπτόμεθα. σφῶϊ αὐτὼ ὠφελεῖτον. οὐκ ἔτι δὲ καὶ ἐπὶ τοῦ τρίτου ὁμοίως. κἀπὶ τῶν πληθυντικῶν δέ τοι ὡσαύτως. ἡμῶν αὐτῶν. ἡμῖν αὐτοῖς. ἡμᾶς αὐτούς. σφῶν αὐτῶν. σφίσιν αὐτοῖς. σφᾶς αὐτούς.

Ἔστι γε μὴν πληθύνοντι λέγειν, καὶ ἑαυτῶν. ἑαυτοῖς. ἑαυτούς. κοινῇ κατὰ πάντων προσώπων. ἑαυτοὺς ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσιν. οὐκ ἔτι δὲ καὶ ἑαυτὸν ὠφελῶ, ἢ ὠφελεῖς. διελέγχεται γάρ τοι ἀκαταλλήλως ἔχων ὑπὸ τοῦ ἐμαυτὸν, ἢ σαυτὸν ὡς εἴρηται.

Ἀλληλοπαθές.

Ὅθεν δὴ καὶ τῷ Ἀριστάρχῳ εἴρηται συζύγους εἶναι τοῖς προσώποις τὰς ἀντωνυμίας. ὁρίζεται γὰρ ὁμοίως καὶ τὸ πᾶν πρόσωπον ἤτοι ἐνδείξει ἢ ἀναφορᾷ. τῶν ῥημάτων ἐν τρίτῳ προσώπῳ ἀοριστούντων, εἰ μή τῳ ἐξαίρετόν τι, οἷον βροντᾷ, καὶ ἀστράπτει. καὶ ὕει. τὸν γὰρ θεὸν ὑπονοητέον ὡς ταῦτ᾽ ἐνεργοῦντα. ἐπεὶ τό γε τρίτον οὐ πάνυ τι, ἀλλ᾽ ὑπὸ τούτων γε ὥρισται.

Καθόλου δὲ ὥσπερ τὰ ὀνόματα οὕτω καὶ αἱ ἀντωνυμίαι τοῖς ῥήμασι κατὰ πτῶσιν ἑκάστην συντάσσονται. καὶ ταῖς μὲν εὐθείαις ἀμεταβάτως. οἷον οὗτος τρέχει. ταῖς δὲ πλαγίαις μεταβατικῶς. τούτου φείδομαι τούτῳ χαρίζομαι. τοῦτον ἐπαινῶ. ἢν μὴ τὰ ῥήματα ἀπόλυτα ἅπλα καὶ ἄσχετα ᾖ. οἷον τὸ ζῶ. καὶ πλουτῶ. καὶ ὑγιαίνω.

Διακριτικόν.

Προστίθεμεν δὲ τὴν εὐθεῖαν, τοῖς ῥήμασι πολλαχῆ οὐχ ὡς μὴ ἐνοῦσαν δυνάμει καὶ νοουμένην ἀλλ᾽ ἤτοι πλείονος ἐνδείξεως ἕνεκα, ἢ διαστολῆς. διακριτικὴ ταύτη γάρ τοι προσώπων, ἡ ἀντωνυμία ἄλλως τε κἂν σύνδεσμος προσλαμβάνηται ὧδε. σὺ μὲν ἐδίδασκες, ἐγὼ δὲ ἐφοίτων.

Σύνθετοι.

Τῶν δὲ συνθέτων χρῆσις μὲν ὥσπερ εἴρηται, ἐπὰν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ, ἑκάστη δὲ ὑπὸ τὸ ἐνεργοῦν αὐτὸ ὑποστρέφῃ, ἢ ἐπί τι τῶν αὐτοῦ. ὥσπερεὶ ἀντανακλωμένη, σώζω ἐμαυτόν, σώζω τὰ ἐμαυτοῦ. ἔτι δὲ φάναι καὶ τὰ ἐμαυτοῦ ἐμὲ σώζει. ὥστε διχῶς ἡ περὶ τὸ αὐτοπαθὲς κτητικὸν σύντα

Ἐπαναφορά.

Συμβαίνει δὲ τῇ ἀντωνυμίᾳ καὶ ἐπαναφορὰ ἐν τρίτῳ προσώπῳ, δι᾽ ἧς προειλεγμένα ἄττα ὀνόματα σὺν ἀναμνήσει ἀντωνομάζοιτ᾽ ἂν λεχθῆναί γε μὴ δυνάμενα ἔτι. Ζεὺς δ᾽ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν, τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ᾽ ἐχέμεν καὶ ὀϊζὺν νωλεμέως. αὐτὸς μὲν πάλιν τρέπεν ὄσσε φαεινώ. εἰ γάρ τις Ζεὺς πάλιν λέγοι καὶ οὐκ αὐτὸς, οὐ συντάξει ἀμφότερα πρὸς τὸν Δία ἀλλ᾽ ἀρχὴν ὥσπερ λόγου ἑτέρου ποιήσεται.

Ἐγγὺς δέ τι τούτου. καὶ τὸ ὑπῆρχε τῷ κυρίῳ αὐτὸν μᾶλλον φιλοῦσα. οὐ μόνον δὴ ἀντωνόμασται, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἀντωνυμιῶν ἐπινοῆσαί ἐστιν. ἀλλὰ καὶ ἀναφέρεταί γε. ὅπερ οὐκ ὀνομάτων ἂν εἴη. ἀλλ᾽ ἢ προσλαβόντων τὰ ἄρθρα.

Δεικτικαί.

Οὐ καθάπερ δὴ αἱ ἀναφορικαὶ οὕτω τοι καὶ αἱ δεικτικαί; ἀντὶ προλεχθέντων ὀνομάτων λαμβάνονταί τινων. ἀλλ᾽ ἀντὶ τῶν δεικτικῶς ἐξενεχθῆναι μὴ δυναμένων.

Ἴδιον γέ τοι τῶν ἀντωνυμιῶν καὶ τὸ κατὰ διαφόρους φωνὰς διάφορα ποιεῖν πρόσωπα τρίτα. τὰ γάρ τοι ῥήματα κατὰ μίαν φωνὴν πλείωσι τρίτοις ἀνήκει προσώποις. λέγομεν οὖν ὅτι γράφει Σωκράτης. ἢ Καλλίας. ἢ ὅς τισοῦν οὐκ ἔτι δὲ καὶ ἐπ᾽ ἀντωνυμίας. ὡσαύτως.

Ὥρισται δὲ τὰ τῶν ἀντωνυμιῶν πρόσωπα οὐ μόνῃ τῇ τῶν παρόντων δείξει, ἀλλὰ καὶ τῇ ἀναφορᾷ καὶ ἀναπολήσει τῶν ἀπόντων.

τέρου προσώπου. καλῶ δὲ αὐτὴν μετάβασιν, ἵνα ἑκατέρωθεν ἀπὸ θατέρου μετάβασις θεωρεῖται ῥήματος. οἷον δέονταί σου τοῖς σφετέροις ἐπικουρῆσαι. καὶ τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν. τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν. Ἔτι αἱ κτητικαὶ ὡς ἁπλῶς εἰπεῖν πρὸς τὰ ἔχοντα οὐ πρὸς τὰ ἐχόμενα. οἷον τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν. ἐνίοτε μέντοι καὶ πρὸς τὰ ἐχόμενα, τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν. ὅμοιον δὲ καὶ τό, ἔγνως ἐννοσίγαιε ἐμὴν ἐνὶ στήθεσι βουλήν.

Διαφορά.

Διαφέρει δὲ τὰ περὶ τὴν σύνταξιν ἡ παράγωγος ἀντωνυμία τῆς πρωτοτύπου ἡ δὴ ἡ μὲν πρωτότυπος συντάσσεται ῥήματι τὸ ὀνόματι καὶ μετοχῇ. παῖδα δέ μοι λύσαιτε φίλην. καὶ μὲν μου βουλέων ξύνιον. ἀέκοντος ἐμεῖο. καὶ ταῦτα προσωπικῶς τε, καὶ ἑτεροπροσωπικῶς. ἐκεῖνος τῆς ἀρχῆς λαβόμενος παρ' οὐδὲν ἦγε τοὺς ἄλλους. ὁ δὲ μεγίστης περὶ αὐτὸν συνειλεγμένης δυνάμεως, ᾔει ἐπὶ τοὺς πολεμίους. καὶ μὲν μου βουλέων ξύνιον. οἷον δὴ καὶ τὸ δημοσθένους. κατασκευάσας γραφὴν οὐκ ἐπ' ἐμὲ ἀλλ' ἐπὶ τὸν θεῖόν μου. ἡ δὲ παράγωγος ὀνόμασι μόνοις. τίσειαν δαναοὶ ἐμὰ δάκρυα.

Αὐτοπάθεια.

Ἐπ' αὐτοπαθείας γε μὴν οὔτ' οὖν πρωτοτύπων, ὅταν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ, οὔτ' οὖν παραγώγων χρώμεθα, ἀλλὰ τοῖς συνθέτοις. ἔχω τοῖς βοηθούμενον καὶ ὁρᾷ σαυτόν.

καὶ αἱ πολλὰ μὲν αἱ δεικτικαὶ καὶ ἀναφορικαὶ, οὐκ ἐπιδέχονται ἄρθρον.

Παράγωγοι.

Τῶν γε μὴν παραγώγων, τὰ ἄρθρα προτίθεται, ὥσπερ καὶ τῶν ἐπιθέτων δηλονότι καὶ τῶν ὀνομάτων. ταυτὸν γάρ πως ἐκείνοις δύναται ὅλως τε σύνταξιν ἔχουσιν, ἣν τὰ ἐπίθετα καὶ αἱ μετοχαὶ πρὸς τὰ κύριά τε καὶ προσηγορικά. ὁμοιογενῶς δὲ καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσονται. ὁ ἐμὸς οἶκος. ἡ ἐμὴ οἰκία. τὸ ἐμὸν οἴκημα, ὁ ἡμέτερος πατήρ. ἡ ἡμετέρα μήτηρ. τὸ ἡμέτερον τέκνον.

Ἀνάγκη δὲ ταῖς κτητικαῖς ταῖς δὲ ῥήματι πρώτου, ἢ δευτέρου προσώπου συναπτομέναις τὰς πρωτοτύπους συντάττειν, καθάπερ καὶ τοῖς ὀνόμασιν. οἷον σὺ ὁ ἐμὸς παῖς μανθάνεις. ἐγὼ δὲ ὁ σός γε πατὴρ διδάσκω. ὥσπερ σὺ μὲν ὁ πλάτων διδάσκεις. ἐγὼ δὲ ὁ σωκράτης διδάσκω

Ἔτι αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου κτητικαὶ, τοῖς ἔξωθεν εὖ μάλα προσώποις συνάπτονται. οἷον ὁ ἐμὸς παῖς σὲ ἢ ἐκεῖνον φιλεῖ. αἱ δὲ τοῦ τρίτου, δίχα τοῦ ἑτέρου τὸν κεκτημένον δηλοῦντος αὐτὸν, συνταχθῆναι πρὸς ἕτερον πρόσωπον οὐκ ἐθέλουσι. σολοικισμὸς γὰρ τὸ φάναι ὁ σφέτερος παῖς φιλεῖ ἐμὲ, καὶ οὖν ὁ σφέτερος αὐτῶν παῖς ῥητέον. ἢ ὁ παῖς αὐτῶν ἀντὶ τοῦ κτητικοῦ.

Ἀντιμετάβασις.

Κατὰ μὲν τοί γε ἀντιμετάβασιν εὖ ἔχει συντάξεως τὸ σφέτερον μόνον, ὡς καὶ τὰ τοῦ πρώτου, καὶ δευ-

ζικῶν γίνεται. λέγω δὲ περὶ δυοῖν ἀεὶ τελευτών-
των. ὥς τε κἂν τρία ἐπάλληλα ᾖ, τοῦτο ἂν τῷ δευ
τέρῳ πρὸς τὸ πρῶτον συμβαίνῃ. ὥς τόγε πρῶτον
καὶ δεύτερον ὁμοιοτακτεῖ διὰ τοῖς ἰδίοις αὐτῶν πτω
τικοῖς, οὐδὲν ἂν κωλύοι. οἷον οἱ τὴν τῶν ἀπόντων
ἀνειληφότες φροντίδα. ἀλλὰ τὰ μὲν τοιαῦτα ἑ-
τέρας ἐστὶ θεωρίας.

Περὶ ἀντωνυμίας.

Ἀντωνυμία δὲ κατὰ τοὔνομα λέξις ἐστὶ λαμβανο-
μένη ἀντὶ ὀνόματος. τῶν γὰρ ὀνομάτων πρώτου, καὶ
δευτέρου ἀμοιρούντων προσώπου, ἥδε πρόσεισι
δυναμένη πᾶν πρόσωπον παρέχειν τοῖς ῥήμασιν
εἰς λόγου τελείωσιν. ἐγὼ γράφω. σὺ γράφεις. ἐκεῖ
νος γράφει.

Διαίρεσις.

Διαιρεῖται δὲ εἰς πρωτότυπον καὶ δεικτικὴν καὶ ὑπο
ταγματικήν, καὶ ὅσα ἄλλα διώρισται πρότερον. ἔστι
δὲ καὶ ἡ μὲν, ἐντελής. ταῦτα ἐμοί. ἡ δὲ ἐγκλιτική.
ταῦτά μοι. καὶ αἱ μὲν, αὐτοπαθεῖς εἴτ' οὖν ἰδιοπαθεῖς.
ἐμαυτὸν αἱ δὲ, ἑτεροπαθεῖς. οἷον ἐμέ.

Πρωτότυποι.

Τῶν μὲν οὖν πρωτοτύπων αἱ εὐθεῖαι πρὸς ἀντιδια-
στολὴν αἰεὶ ἑτέρων λαμβάνονται. ἡμεῖς εἴπομεν καὶ
οὐχ ἕτεροι. ἐγὼ γέγραφα καὶ οὐχ ἕτερός τις. αἱ δὲ
πλάγιαι, ἣν μὲν ὀρθοτονῶνται, καὶ αὐταὶ δὴ πρό
σωπα διαστέλλουσιν. ἐμοῦ ἤκουσας καὶ οὐκ ἄλλου.
ἣν δὲ τὸ ἀρκτικὸν ἀποβάλλωσι φωνῆεν, ἀπολύ-
τως λέγονται ἐγκλινόμεναι ἤκουσάς μου. καὶ ἔ-
δωκάς μοι. καὶ ὕφανάς με. πάντη δὲ αὐταί τε

Πολλάκις δὲ τὰ ὑποτακτικά, καὶ σὺν ἐλλείψει ἑτέρων πτωτικῶν κεῖται. ἧκεν ὃς ἐμοὶ φίλος· φείδομαι ὧν φείδεσθαι ἄξιον. κοινὸν δὲ τὸ τοιοῦτο πάντων τῶν ἀναφορικῶν.

Ἐλλείπονται δέ τοι καὶ τὰ προτακτικὰ ἀλλὰ πρὸς ζημικήν. καὶ ἀφηγουμένου τὴν πτῶσιν συναποφέρονται νοουμένην. οἷον λόγος μὲν οὑτοσὶ πρῶτος. δεύτερος δὲ ὁ τῶν φιλοσόφων.

Ἀποδίδοται δὲ καὶ τῷ τίς ἐρωτηματικῷ τὸ ὃς ὑποτακτικὸν μετὰ ῥήματος τοῦ αὐτοῦ τῷ προηγουμένῳ. ἢ καὶ ἑτέρῳ τῳ. οἷον, τίς ἐποίησε τὴν ὀδύσσειαν, ὃς καὶ τὴν ἰλιάδα ἐποίησε. καὶ ἄνευ ῥήματος ἔξωθεν ἀπὸ κοινοῦ, τίς ἐποίησε τὴν ὀδύσσειαν; ὃς καὶ τὴν ἰλιάδα. ὅταν δὲ μεθ' ἑτέρου μοναχῶς. τίς κέρβερον ἐξ ᾅδου ἀνήγαγεν, ὃς καὶ τὸν ἐν Νεμέᾳ λέοντα ἀνεῖλεν, καὶ σὺν προτακτικῷ δὲ ἄρθρῳ καὶ μετοχῇ γένοιτ' ἂν ἡ ἀπόδοσις ὁμοίως. τίς ἐποίησε τὴν ὀδύσσειαν; ὁ καὶ τὴν ἰλιάδα ποιήσας. τίς ἀνήγαγε κέρβερον; ὁ καὶ τὸν λέοντα ἀνελών.

Συνθήκη.

Βελτίων δὲ πολλάκις συνθήκη λόγου ἀποτελεῖται, τῶν ἄρθρων τοῖς ἰδίοις πτωτικοῖς μὴ συναπτομένων. ἀλλά τινος μεσοσυλλαβοῦντος ἑτέρου. οἷον οἱ τὴν φροντίδα ἔχοντες. ἔνθα δὴ καὶ συμβαίνει ἐπάλληλά τε κεῖσθαι τὰ ἄρθρα καὶ μὴ τὴν αὐτὴν σύνταξιν ἔχειν τοῖς ἰδίοις πτωτικοῖς, ἀλλ' ἀντίστροφον. τὸ γὰρ πρῶτον τῶν ἄρθρων ἀεὶ τοῦ δευτέρου τῶν πτω-

Μετοχὴν δὲ ἑτεροπροσώπως ὡς καὶ τοῖς κυρίοις καὶ προσηγορικοῖς ἐπαγομένην ὧδε. ἐπαινῶ σωκράτην ὃν ἀρετῆς ἐν ἑαυτῷ οὔσης τελείας πολλοὶ μιμησάμενοι ἐπέδοσαν πρὸς τὰ καλά.

Ἔτι τὸ ὑποτακτικὸν πολλάκις, ὃ πρὸς ἣν πτῶσιν ἐπάγεται τὸ ἐπαγόμενον ῥῆμα ἀποδίδοται, ἀλλὰ πρὸς ἣν τὸ ἡγούμενον. ἀττικὸν δὲ τὸ τοιοῦτο. χρῶμαι οἷς ἔχω βιβλίοις. καὶ ἀπολαύω ὧν ἔχω ἀγαθῶν.

Ἔτι τὸ ὑποτακτικὸν, ἔστι μὲν ὅτε πρὸς πληθυντικὸν ἑνικὸν ἀποδιδόμενον εὕρηται. οἷον ἀνθρώπους τίνυνται. ὅστις κ' ἐπίορκον ὀμόσσῃ. ἔστι δ' ὅτε τὸ ἀνάπαλιν. μή τις ἀχαιῶν ἔνθα δ' ἐπέλθῃ βουληφόρος οἵ τέ μοι αἰεὶ βουλὰς βουλεύουσι.

Προσκείσθω δὲ καὶ λαμβάνειν ἔνθα ἂν οἷόν τε ἦ, ἀντὶ τοῦ ὑποτακτικοῦ τὸ προτακτικόν. καὶ ἀντὶ τοῦ ἑπομένου ῥήματος μετοχὴν τὴν αὐτὴν τοῦ λόγου φυλάττοντας ἔννοιαν. εἶναί γε μὴν ὁμοιόπτωτα καὶ ὁμογενῆ καὶ ὁμοάριθμα τὰ μεταληφθέντα ἀλλήλοις τε καὶ τοῖς ἡγουμένοις πτωτικοῖς δεῖ. σωκράτης, ὃς πολλὰ πεποίηκεν ἀγαθά. ὁ πολλὰ πεποιηκὼς ἀγαθά.

Κἂν μὴ ἦ δὲ τὸ ὑποτακτικὸν πρὸς τὸ ἐπαγόμενον ῥῆμα, μεταληπτέον τὸ σύστοιχον. ἢ συνώνυμόν τι, ἢ ὅμοιον ὧδε. Σωκράτης οὗ λόγος ἐπ' ἀρετῇ πολύς. τοῦ μάλιστα δὴ ἀρετὴν ἐπαινουμένου τοῦ πολὺν ἐπ' ἀρετῇ λόγον ἔχοντος. Σωκράτης ᾧ Πλάτων διδασκάλῳ ἐχρήσατο. τῷ διδάξαντι Πλάτωνα, ἢ καθηγησαμένῳ Πλάτωνος.

μετάβασις γίγνοιτ' ἄν. οἷον τὸν ἄνθρωπον, ὃν ἐλεῶ, τρέφω, ἢ κατ' ἀντιστροφήν· ἐμαυτὸν, ὃν φιλῶ, θεραπεύω.

Εἰ δ' ἡ μὲν τῶν πτώσεων εἴη εὐθεῖα. ἡ δὲ πλαγία, ἐνίοτε μὲν καὶ πρὸς τὴν εὐθεῖαν ἡ μετάβασις τοῦ ῥήματος γίνεται ἀπὸ προσώπου εἰς πρόσωπον. ἐπαινεῖ τοὺς δαναοὺς ὅμηρος, οὓς τιμῶ. καὶ πάλιν τέθνηκε πάτροκλος, ὃν ἐφίλει ὁ ἀχιλλεύς. ὡς ἐπὶ τὸ πλεῖστον δὲ πρὸς πλαγίαν. τιμῶ ὅμηρον, ὃς τοὺς δαναοὺς ἐπαινεῖ.

Καὶ αἱ πλάγιαι δὲ τοῦ ὃς πρὸς τὰς εὐθείας ἁπάντων τῶν πτωτικῶν, ἀναφέρονται. ὅμηρος, οὗ. ᾧ. ὅν.

Καὶ ἀνάπαλιν, τῇ ὃς εὐθείᾳ πᾶσαι αἱ τῶν ἄλλων πτώσεις καταλλήλως συντάσσονται. ὅμηρος ὃς τὴν ἰλιάδα συνέγραψε. ὁμήρου ὅς. ὁμήρῳ ὅς. ὅμηρον ὅς. ὅμηρε ὅς.

Καὶ ἔτι αἱ τοῦ ὅς, πλάγιαι ταῖς τῶν πτωτικῶν πλαγίαις ἁπάσαις. ὁμήρου οὗ. ᾧ. ὅν. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως καὶ ὁμοῦ ταῖς προθέσεσιν. ἀφ' οὗ. σὺν ᾧ. περὶ ὅν.

Ἔστι δ' ὅτε καὶ μετὰ τοῦ ὑποτακτικοῦ εὐθὺς μετοχὴν ἐπάγομεν ὁμοιογενῆ καὶ ὁμοιόπτωτον καὶ ὁμοάριθμον. ἢ πλαγιοσύντακτον κατὰ γενικὴν ἀεί. καὶ ἤτοι μόνην ἢ σὺν ὀνόματι, ἢ ἐπιρρήματι. οἷον αἱροῦμαι ἀρετὴν ἣν ἔχουσαν οὐδεὶς ἄν με ἀφέλοιτο.

Ἐπαινῶ τὸν τρόπον σωκράτους τοῦ καθηγησαμένου, οὗ δι' αὐτοῦ γεγονότος πλεῖστοι ὤναντο τὰ εἰς ἀρετήν.

Καὶ σὺν ἐπιρρήματι. τοῦ ἄριστα τὸν βίον διάγοντος.

πληκτικός. ὁ δέ. οὔ.

Εἰ μὲν οὖν εὐθεῖα ἡγεῖται, κείσθω ἐν τῇ ἀθροίσει τὸ ῥῆμα. εἰ δὲ γενική, ἐν τοῖς μεριζομένοις ὡς δέδεικται.

Βουλομένοις δὲ καὶ τὴν ἄθροισιν, καὶ τὸν μερισμὸν πλαγίως προενεγκεῖν, ἀνάγκη δὴ καὶ μετοχῇ χρῆσθαι πλαγίᾳ ἐν μοίρᾳ λαμβανομένῃ ῥήματος. καὶ μετάβασιν ἑτεροπροσωπικῶς ποιεῖσθαι. ἀστέρων διαττόντων τῶν μὲν ἀπ' ἀνατολῶν, τῶν δὲ ἀπὸ δυσμῶν, ἴσον τὸ τάχος, καὶ πρὸς δοτικήν. ἀστέρσι διαττᾶσι, τῷ μέν, τῷ δὲ καὶ πρὸς αἰτιατικήν, ἀστέρας διάττοντας, τὸν μέν, τὸν δέ.

Τὸ δ' Ὁμήρου ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς, σολοικοφανές.

Ἴδιον δὲ τοῦ προτακτικοῦ οὐδετέρου τὸ πᾶσι τοῖς τοῦ λόγου μέρεσι καὶ τῷ λόγῳ αὐτῷ συντάττεσθαι ὁρικῶς. οἷον τό, ἄνθρωπος, τὸ γυνή. τὸ λέγω. τὸ Σωκράτης διαλέγεται ὧδ' οὕτω τε εἴη ἂν ὡς οὐδέτερα πάντα καὶ ἄκλιτα.

Ἔτι τό, ὅς ὀνόματός τινος αἰτιατικῇ ὑποπλεκόμενον, ἀνάγκη μὴ πρὸς τὸ ἡγούμενον ὄνομα μόνον ἀλλὰ καὶ πρὸς τὸ συνημμένον αὐτῷ ἕτερον ῥῆμα προφέρεσθαι. ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον ὃς μάλα πολλὰ πλάγχθη. μετάβασις δὲ τοῦτο ἀπὸ προσώπου εἰς πρόσωπον.

Εἰ δ' εὐθεῖα συντάττοιτο εὐθείᾳ πρὸς τὸ αὐτὸ πρόσωπον ἄμφω τὰ ῥήματα ἀναφέρεται. ἦκεν ἀνὴρ ὃς ἐπέστελλεν.

Εἰ δὲ δύο πλάγιαι εἶεν ἤτοι πρὸς ἕτερον πρόσωπον

ἄρα τὸ ὑποτακτικὸν πάντων τῶν πτωτικῶν. προσηγητικὸν δὲ, τῶν ῥημάτων. οἷον εἰ λέγοι τις σώφρων ὃς τῶν φαύλων κρατεῖ ἐπιθυμιῶν. ὅθεν δὴ καὶ ὃ κυρίως ἂν εἴη ἄρθρα ταυτὶ ῥημάτων γὰρ προηγεῖται τῶν μὴ πεφυκότων ἄρθροις συντάττεται.

Χρῆσις δὲ τοῦ προτακτικοῦ κατὰ τῶν ἐπιμεριζομένων πτωτικῶν τοῖς μερισμοῖς καλουμένοις συνδέσμοις τῷ μὲν. καὶ δὲ, τριχῶς δέ. ἢ γὰρ κατ᾽ εὐθεῖαν. οἷον ἄνθρωποι. οἱ μὲν ἤδη εἰσέτρεχον. οἱ δὲ, παρεσκευάζοντο. ἢ κατὰ γενικήν. τῶν ἀνθρώπων οἱ μὲν ἕλληνες οἱ δὲ βάρβαροι; ἢ κατὰ αἰτιατικήν. τοὺς στρατηγοὺς, τοὺς μὲν ἔλαβον. τοὺς δὲ λαβεῖν οὐδαμῶς ἠδυνήθησαν.

Πρόληψις.

Ἔνθα δὴ καὶ ἡ μὲν κατὰ πρόληψιν πληθυντικὸν ῥῆμα προτάσσεται πρὸς ἑκάτερον τὸ ἑπόμενον, εὐθεῖαν δεῖ προηγεῖσθαι ἐν τῇ ἀθροίσει. οἷον ἀετοὶ διέπτησαν δύο. ὁ μὲν, ἀπ᾽ ἀνατολῶν. ὁ δὲ, ἀπὸ δυσμῶν.

Εἰ δὲ πρὸς τὰ μεριζόμενα ἑνικὸν ἕπεται, γενικὴν δέοι ἂν ἡγεῖσθαι πληθυντικήν. δυοῖν ἀετῶν ὁ μὲν, ἀπ᾽ ἀνατολῶν ἔπτη. ὁ δὲ, ἀπὸ δυσμῶν.

Ἔστι γε μὴν καὶ τὸ ἑνικὸν ὅτε μὲν εἰς ἑνικὰ διελεῖν ὅτε δὲ εἰς πληθυντικά. τὸ ἀνθρώπειον γένος τῇ μὲν, ἀγαθόν. τῇ δὲ, φαῦλον. τὸ ἀνθρώπειον γένος, οἱ μὲν ἀγαθοί, οἱ δὲ, φαῦλοι.

Καὶ αὖ πάλιν τὸ πληθυντικὸν ὅτε μὲν εἰς πληθυντικὰ, ὅτε δὲ εἰς ἑνικά. τῶν ἀνθρώπων οἱ μὲν, ἀγαθοί. οἱ δὲ, φαῦλοι. δυοῖν ὀρνίθων, ὁ μὲν,

καὶ γέγραφα.

Περὶ ἄρθρου.

Τὸ δὲ ἄρθρον, ἔστι μὲν λόγου πτωτικὸν μέρος προτασσόμενον τοῖς ὀνόμασι. διαιρεῖται δὲ εἰς προτακτικόν τε καὶ ὑποτακτικὸν ὡς διώρισται πρότερον. κυρίως γε μὴν ἄρθρον τὸ προτακτικόν. ποιεῖ δ' αὖ ἀναπόλησιν προεγνωσμένου του ἐν τῇ συντάξει. οἷον εἰ μὲν λέγοι τις ἄνθρωπος ἥκει, ἄδηλον τίνα ἄνθρωπον λέγοι. εἰ δὲ ὁ ἄνθρωπος, δῆλον· προεγνωσμένον γάρ τινα τῶν ἀνθρώπων. τοῦτο δὲ αὐτὸ βούλονται καὶ οἱ φάσκοντες τἄρθρον σημαντικὸν οὐ πρώτης γνώσεως ἀλλὰ δευτέρας.

Τὰ μὲν οὖν προτακτικὰ πάντων τῶν ὀνομάτων προτίθεται, τὰ δὲ ὑποτακτικὰ ἑνὸς ἀορίστου, τοῦ τις, ἐγκλινομένου, ὅς τις. προτίθεται δὲ ταυτὸ ὁμοίως καὶ συνδέσμου τοῦ περ. ὅς περ, καὶ τοῦ γε, ὅς γε, καὶ τοῦ που, ὅς που. ποιηταὶ δὲ καὶ ὅς ῥα, καὶ ὅς νυ λέγουσιν. ἀλλ' ὅταν ἁπλῶς οὕτω λαμβάνηται, τῷ τις συντάσσεται μόνον, ἢ τῶν εἰρημένων τῳ. ὅταν δὲ αὐτόν τις ἀγνοοῦντα δηλῶσαι βούληται, καὶ τὸ ποτὲ ἐπιπλέκει τῷ τις ἐγκλινομένῳ. οἷον ὅς τις ποτὲ ἦν ἐκεῖνος. προσκείσθω δὲ τούτοις καὶ τὸ ἅττα, ὡς καὶ τὸ ἅ τινα προτασσόμενον ἅττ' ἂν εἴπῃς· ὡς δὲ τὸ τινὰ ὑποτασσόμενον. ὁποῖ' ἅττ' ἂν ᾖ.

Ἔτι τὰ μὲν προτακτικὰ ὀνομάτων, καὶ μετοχῶν καθόλου προτίθεται, ἀντωνυμιῶν δὲ, οὐ πασῶν. τὰ δὲ ὑποτακτικὰ καθόλου ὀνόμασί τε καὶ μετοχαῖς καὶ ἀντωνυμίαις τυγχάνοι ἑπόμενα: ἀκολουθητικὸν

ταῦτα δέον ἕτερα. καὶ ἀκουσθὲν αὐτῷ τοὺς πολεμίους παρεῖναι, αὐτεπεξῆλθεν εἰς μάχην. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Προσωπικῶς.

Αἱ δὲ τῶν προσωπικῶν καὶ εὐθυλογούμεναι, ἀδιαφόρως τοῖς τῶν ῥημάτων προσώποις συντάσσονται, γράφων ὠφελῶ. ὠφελεῖς. ὠφελεῖ. διὰ τὸ μὴ διακριτικὰς εἶναι προσώπων. καὶ ὀνόμασι μὲν συντασσόμεναι, ἐν ῥήματος μοῖρα λαμβάνονται. τοὺς λόγους ἐπαινῶν, ῥήμασι δὲ, ἐν μοίρᾳ ὀνόματος. τοὺς λέγοντας ἐπαινῶ. κἂν ὁμοῦ ἀρσενικὰ ἅττα καὶ θηλυκὰ προτάσσηται μετοχῆς, τὴν τοῦ ἐπικρατεστέρου γένους τουτέστι τοῦ ἀρσενικοῦ μετοχὴν ἐπάγειν. οἷον ἄνδρες, καὶ γυναῖκες καθήμενοι διαλέγονται. δῆλον οὖν ὅτι καὶ θηλυκῶν προτασσομένων σὺν οὐδετέροις, τὴν τοῦ θηλυκοῦ ἐποισόμεθα ἀπωτέρου. οἷον τὸ ὁμήρου. αἱ δέ που ἡμέτεραι τ᾽ ἄλοχοι καὶ νήπια τέκνα εἵατ᾽ ἐνὶ μεγάροις ποτιδέγμεναι, ἂν δ᾽ ἀρσενικὰ καὶ θηλυκὰ ὁμοῦ προταχθῆ κατὰ μετασχηματισμὸν φωνῆς ἀλλὰ μὴ κατὰ σημασίαν, τὴν οὐδετέραν ἀποδώσομεν μετοχὴν, οἷον δὴ καὶ τὸ, νοῦς μὲν ἤδη καὶ αἴσθησις ἀπ᾽ ἀλλήλων διακριθέντα.

Ἔτι ἐὰν διάφορα προτάσσηται γένη χωρὶς, ἡ μετοχὴ τοῦ ἐγγυτέρου ἔσται. ὁ δέ κ᾽ ἄρης λαοσσόος οὐδέ κ᾽ ἀθήνη τόν γε ἰδοῦσ᾽ ὀνόσαιτο. καὶ συντάττονται δὲ, καὶ τοῖς ὑπαρκτικοῖς ῥήμασι μηθὲν πλέον δηλοῦσαι τῶν συστοίχων ῥημάτων. οἷον γράφων εἰμὶ καὶ γεγραφώς. ἴσον γὰρ τῷ γράφω,

σκοπός σὺ μανθάνῃς. τὸ, τὲ πλαγίου τῆς συντάξεως ὄντος ὡς ἐκεῖνο τὸ ὀρθὸν ἤτοι αἰτιωτικῶς. ἢ κατὰ συμβεβηκός.

Δύο μὲν τοίνυν τρόποι τῆς πρὸς τὸ ῥῆμα μετοχῆς συντάξεως οἱ εἰρημένοι. ὁ μὲν κατ᾽ ἀκολούθησιν ἀπ᾽ εὐθείας εἰς ῥῆμα ὁμοιοπρόσωπον τῇ εὐθείᾳ. ἡ γάρ τοι παραλλαγὴ τοῦ προσώπου ἐνταῦθα σολοικισμὸς, ὡς εἴρηται πρότερον σωκράτης περιπατῶν διαλέγεται. καλείσθω δὲ ὁ τοιοῦτος ταυτοπροσωπικός.

Ὁ δὲ, ἀπὸ γενικῆς ἀδιαφόρως ἑτεροπροσωποῦντος τοῦ ῥήματος. σωκράτους διαλεγομένου δίων, ἢ σὺ γράφεις. προσαγορευέσθω δὲ ἑτεροπροσωπικὸς ἀμετάβατος.

Τρίτος δὲ ὁ ἀπὸ δοτικῆς κατὰ διάφορον, καὶ οὗτος ἐπαγωγὴ τοῦ ῥήματος. διαλεγομένῳ σωκράτης παρῆν.

Τέταρτος δ᾽ ὁ ἀπὸ αἰτιατικῆς ἀδιαφόρως καὶ οὗτος. διαλεγόμενον ὁρᾷς καὶ ἑώρα. Καθόλου δὲ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς ἐκ πρώτου πλαγίοις συντασσομένη ἡ μετοχὴ τὴν τοῦ ῥήματος ποιήσεται ἀκολούθησιν. ὁρῶσι κρύπτοντα ἐμοὶ βουλομένῳ ἦν τοῦ μὲν ἀπέχοντος ὡς προδόντος.

Απροσώπως.

Ταῖς δὲ τῶν ἀπροσώπων μετοχαῖς ἴδιον μάλιστα τὸ τὴν εὐθεῖαν τῶν οὐδετέρων πρὸς ἀναπλήρωσιν γίνεσθαι τοῦ δευτέρου τρόπου. οἷον ἄδηλον ὂν ὁ πότε τις ἐπελθὼν, ἄλλος ἀφαιρήσεται. καὶ ἰδιώτης ἦν ὡς ὅ με τὸν ἢ προσῆκον αὐτῷ τῆς ἀρχῆς, καὶ ἔπρασσον

Ἔτι ὡς δίδωμι Σωκράτει, οὕτω καὶ ὁ διδοὺς Σωκράτει.

Ἔτι ὡς φιλῶ τὸν σωτῆρα, οὕτω φιλῶν τὸν σώζοντα. καὶ ὡς θεῶμαι τοὺς γυμναστάς, οὕτω καὶ θεώμενος τοὺς γυμναζομένους. τὸ δὲ τόξων εὐθέως, ποιητικὸν κατὰ ἀντιμέρειαν. ὡσανεὶ ἔλεγε τὸ τόξων εἰδήμων.

Φέρονται δὲ αἱ μετοχαὶ ἐπὶ τὰς αὐτὰς πτώσεις τῷ ῥήματι, καί τοι τῶν ἄλλων πτωτικῶν· λέγω δὴ τῶν ἀπὸ ῥήματος γινομένων, οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων. κόπτω τοῦτον. κοπεὺς τούτου. ὅθεν καὶ δηλονότι πάντα τὰ πτωτικὰ ἐπὶ γενικήν, πλὴν τῶν μετοχῶν.

Ἔτι ὡς ἀπολελυμένως φαμὲν ἀναπνέω καὶ ζῶ καὶ γράφω καὶ χαίρω, οὕτω καὶ ἀναπνέων ζῶ. καὶ γράφων χαίρω.

Διατί εὕρηται ἡ μετοχή.

Ὅθεν καὶ δῆλον, ὅτι πολύ τι εἰς βραχυλογίαν καὶ ἑλληνισμὸν λόγου συμβάλλονται αἱ μετοχαί. πολὺ γάρ τοι διαφέρει εἰς εὐφραδίαν τὸ γράφων ἔλεγον, τοῦ ἔγραφον καὶ ἔλεγον, καὶ τὸ γράψας ὠφέλησα, τοῦ ἔγραψα καὶ ὠφέλησα. καί τοι σημασίας οὔσης τῆς αὐτῆς. εἰ δὲ καὶ ἑτέρας, δεόντως. καὶ δὴ τὸ ῥῆμα εἰς τὸ πτωτικὸν μετηνέχθη σχῆμα. ἡ γὰρ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα σύνταξις, δήλωμα ἂν εἴη αἰτίας. ὡς τ' ἴσον γίνεσθαι τὸ γράψας ὠφέλησα, τῷ ἐκ τοῦ γράψαι ὠφέλησα.

Πλαγίως.

Πολλὴ δὲ χρῆσις καὶ τοῦ πλαγίου τῶν μετοχῶν. οἷον ἐμοῦ διδάσκοντος ἥκει Σωκράτης. καὶ ἐμοῦ διδά-

τὸ δὲ δεύτερον ἔτι τῷ πρώτῳ. καὶ ὂν πρώτου. καὶ δευτέρου λαμβανομένου δίχα τοῦ τρίτου, λόγος ἂν γίνοιτο. οἷον τὸ, τοι γὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μοι ὄμοσσον. τρίτον δ' οὐκ ἂν λέγοιτο, μὴ καὶ πρώτου, ἢ δευτέρου λεγομένου, ἢ συνυπακουομένου.

Σύλληψις.

Ἔτι τὸ μὲν πρῶτον καὶ δεύτερον δύναται συλλαμβάνειν τὸ τρίτον εἰς πληθυντικὸν ἰδίαν. τὸ δὲ τρίτον οὐδέτερον τούτων. καὶ γὰρ ἐγὼ μὲν κἀκεῖνος περιπατοῦμεν φαμέν. καὶ σὺ κἀκεῖνος περιπατεῖτε. οὐκ ἔτι δὲ καὶ ἐκεῖνος κἀγὼ περιπατοῦσιν. ἢ ἐκεῖνος καὶ σὺ περιπατοῦσιν. ὡς δὲ τὸ τρίτον πρὸς τὸ πρῶτον καὶ δεύτερον ἔχει, οὕτω καὶ τὸ δεύτερον πρὸς τὸ πρῶτον. τὸ μὲν γὰρ πρῶτον συλλαμβάνει τὸ δεύτερον ἀνάπαλιν δ' οὔ. ἐγὼ οὖν καὶ σὺ περιπατοῦμεν φαμέν. περιπατεῖτε δ' οὔ.

Περὶ μετοχῆς.

Μετοχὴ δ' ὡς καὶ τοὔνομα δηλοῖ, μέρος ἐστὶ λόγου μετέχον τοῦ ὀνόματος, καὶ τοῦ ῥήματος μετέχει δὲ τοῦ μὲν, γένους, καὶ πτώσεως τοῦ δὲ διάθεσιν καὶ χρόνον καὶ συζυγίαν. διὸ καὶ τῇ μὲν, τῆς ἀμφὶ τοὔνομα συντάξεως ἔχεται τῇ δὲ, τῆς ἀμφὶ τὸ ῥῆμα. ὥς τε καὶ ὡς ἔχει συντάξεως τὰ ῥήματα πρὸς ἄλληλά τε καὶ πρὸς τὰ ὀνόματα, οὕτω καὶ αἱ μετοχαὶ πρὸς ἀλλήλας τε, καὶ πρὸς τὰ ῥήματα καὶ ὀνόματα. ὡς γὰρ φαμὲν γράφειν ἐθέλω. καὶ τοῦ λέγειν ἐφίεμαι, οὕτω καὶ γράφειν ἐθέλων. καὶ τοῦ λέγειν ἐφιέμενος. καὶ βελτίον γε τοῦ μέλλοντος τὸ μετοχικόν. ἥκω ἐρῶν. ἔπεμψα ὡς ἀγγελοῦντα.

Μάλιστα δὲ ἐπὶ τοῖς προαιρετικοῖς καὶ ὑπηρετικοῖς καλουμένοις τὸ ἀπαρέμφατον ἐπιφέρεται. βούλομαι ἢ θέλω γράψαι. προαιροῦμαι ἢ ἐφίεμαι φιλοσοφεῖν. ἐπιθυμῶ ἰατρεύειν. ποθῶ ἰδεῖν. προθυμοῦμαι βοηθεῖν. ἐπίσταμαι, ἢ δύναμαι γράφειν, καὶ ἔτι γε τοῖς ἀπροσώποις. δεῖ γενέσθαι λέγεται ἀφικέσθαι πολλούς.

Ἐνεστὼς. ἀόριστος.

Ἀποδώσομεν δὲ ὡς ἁπλῶς εἰπεῖν τῶν μὲν τελικῶν κατά τε ἀόριστον καὶ ἐνεστῶτα, προθύομαι ἐντυχεῖν ταὐνδρί. ἀντιβολῶ σε παραγενέσθαι. ἢ παραγίνεσθαι. εἰ τὸ ἅπαξ, ἢ τὸ πολλάκις ἐν χρείᾳ.

Ἐνεστὼς. ἀόριστος. μέλλων.

Τῶν δὲ εἰδικῶν, κατά τε τὸ παρῆκον, καὶ τὸ ἐνεστὼς, καὶ τὸ μέλλων. ἀλλ' οὐ πάντως. ἀλλ' ἀφηγηματικῶς μὲν καὶ δοξαστικῶς καὶ γνωστικῶς ὁ τοιοῦν, φασίν, ἢ δοκῶ, ἢ οἶδα τὸν ἄνδρα εἰρηκέναι. λέγειν, ἐρεῖν, ἐπαγγελτικῶς δὲ καὶ παρωνύμως πρὸς τὸ μέλλον τὸ μέλλον. ὑπισχνοῦμαι ἐρεῖν. ἐλπίζω ὄψεσθαι, μέλλω δράσειν. κατάλληλός γε μὴν καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι. μέλλω δρᾶν. ἀκολουθήσεται δὲ καὶ τοῖς ἀπροσώποις τὰ περὶ τὸν χρόνον ὁμοίως τοῖς τελικοῖς ὡς εἴρηται.

Πρόσωπα.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι τὰ πρόσωπα τρία ὄντα, πρῶτον μὲν περὶ ἑαυτοῦ φράζει ὁ λέγων, δεύτερον. μὲν περὶ τοῦ πρὸς ὃν ὁ λόγος. τρίτον μὲν περὶ ἑτέρου, οὐκ ἰσοδύναμα ἀλλήλοις ἐστὶν, ἀλλὰ πολὺ τὸ τρίτον λείπεται τοῦ πρώτου τε καὶ δευτέρου.

τὸ δὲ

γουσι. δέωνα ὑβρίσαι θέοντα.

T αὐτ' ἄρα καὶ ἡ τοῦ ἄρθρου προσθήκη κατάλληλος τοῖς ἀπαρεμφάτοις. καλὸν γὰρ φαμὲν τὸ ἀρετῆς ἀντιποιεῖσθαι. ἢ τοῦ φιλοσοφεῖν, οὐδὲν ἴδιον. καὶ τῶν ἀνθέων τὸ ὀδωδυκέναι. ἀντὶ ὀνόματος οὖν ἡ χρῆσις.

I διον δὲ τοῦ ἀπαρεμφάτου πρὸς τὰς ἄλλας ἐγκλίσεις καὶ τό, τε αἰτιατικὴν προέχειν, ἐπεὶ ὥς τε ῥῆμα τὴν τοῦ ῥήματος διάφορον ἔξει μετάβασιν. οἷον συγγινώσκειν σε τῷ ἡμαρτηκότι, καὶ τὸ παντὶ προσώπῳ καὶ παντὶ ἀριθμῷ συντάττεται. διὰ τὸ ἀμοιρεῖν τῶν τούτων καὶ τὸ ταῖς ἄλλαις ἐγκλίσεσι πάσαις, καὶ ἑαυτῷ δὴ συντάττεσθαι. ὁρῶσι μελετᾶν ἀναγινώσκειν. καὶ μετοχῇ μελετῶν τὰ ἀναγινώσκειν. καὶ ὀνόματι, καλὸς ἰδεῖν. ἀνδρεῖος μάχεσθαι. καὶ τοῖς διωρισμένοις τρόποις περὶ συντάξεως ἅπασιν οἷόν τε εἶναι προσήκεισθαι. διδάσκουσι διαλέγεσθαι. ἀπαιτοῦσι χρήματα δουλώσασθαι τοὺς ἐχθρούς. ἀκούω σου μαθεῖν τὰ περὶ τὴν πόλιν. ἀπολύω σε τῶν δεσμῶν πορεύεσθαι ὅποι δέκεν. δίδωμί σοι ἀργύριον πρίασθαι ὧν ἂν δέῃ. κοινωνῶ σοι τῶν ἀγαθῶν μὴ φθονερὸς εἶναι δοκεῖν. πολλαχῇ μέν τοι τοῦ σαφεστέρου χάριν ὡς εἴρηται. προσθετέον ἢ ἀποστατικὸν τὸ ὥς τε, ἢ ἐλλειπτικὸν τὸ τοῦ. ἢ προθετικὸν, ὁμοῦ ἄρθρῳ. ὅπως ἂν ἡ χρεία ὑπαγορεύῃ. παρακαλῶ σε ταῦτα ὥς τε τυχεῖν τοῦ τυχεῖν. ἐφ' ᾧ τυχεῖν τιμῆς τε καὶ δόξης.

Προαιρετικὰ καὶ ὑπηρετικά.

Δίων. ἐὰν ἀναγινώσκω παραγίνεται Θέων.

Ωσαύτως δὲ καὶ μετὰ τοῦ ἵνα. ἵνα φιλολογήσω πάρεσται, ἢ πάρεστι Δίων. ἐὰν γε μὴν σύνταξις παρῳχημένου ἐγγένηται, ὁ σύνδεσμος καλεῖσθαι αἰτιολογικός. ἵνα φιλολογήσω παρεγένετο Δίων. τοῦτο δὲ καὶ ἀποτελεστικῶς ἔχει ἀκοῦσαι. ἐπὶ μέντοι τοῖς ἐσομένοις ἡ τοῦ αἰτιολογικοῦ σύνταξις οὐκ ἂν εἴη. ἤδη γὰρ γεγονόσι τὰ αἴτια ἐπιλέγεται· διὸ καὶ καταλληλότερον τὸ αἰτιολογικὸν ἐπιφερομένων τῶν παρῳχημένων. ἵνα διδάξῃ παρεγένετο Δίων, οὐ παραγενήσεται. ἐπὶ μέντοι τοῦ ἀποτελεστικοῦ παραγενήσεται. ὡς δὲ πρὸς τὸ μέλλον, ἢ ἐνεστὼς τὸ ὑποτακτικόν, οὕτω καὶ τὸ εὐκτικὸν ἐπὶ παρεληλυθότος. οἷον παρεγένετο Δίων ἵνα διδάσκοι με, ἢ διδάξαι με. βούλεται γὰρ καθόλου τι τὸ τοιοῦτο εἶναι. κἂν μὴ ἀεὶ οὕτω χρώμενος ὁρῶμεν τοὺς λέγοντας.

Ἀπαρέμφατος.

Τὸ δ' ἀπαρέμφατον, ὄνομά ἐστι ῥήματος καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ τοῦτο μὲν ῥῆμα καλοῦσι. τὰ δ' ἄλλα πάντα κατηγορήματα, ἢ συμβάματα διόπερ ὡς ἐπὶ κοινὸν ὄνομα τὸ ἀπαρέμφατον πᾶσα ἀναλύεται ἔγκλισις. οἷον περιπατεῖ Θέων. ὁρίζομαι περιπατεῖν Θέωνα. ἐξ ἀποφάνσεως δέ, εἰς ἀφήγησιν μεταβάλλει ὁ λόγος. ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων ἐγκλίσεων, προσκειμένου ἀεὶ τοῦ τῆς ἐγκλίσεως ἰδιώματος. οἷον, εὔχομαι, ἢ προστάττω. αὐτοῦ δὲ τοῦ ἀπαρεμφάτου κυρίως οὐκ ἔσται ἔγκλισις, βουλήματος γὰρ οὐδενός ἐστι σημαντικόν. διαλύσαιτο δ' ἂν καὶ ὧδε, ὑγιαίνει Δίων. φασὶ Δίωνα ὑγιαίνειν λέ-

ῥήματα εὐκτικόν, περὶ τὰ ἀπορρήματα. ἢ τὰ μὲν ῥήματα, μετὰ τοῦ γινόντος πράγματος τὴν εὐκτικὴν σημαίνοι διάθεσιν, τὸ γάρ τοι γράφοιμι, εὐχή ἐστι πράγματος τοῦ γράφειν. καὶ τὸ φιλολογοίμι, τοῦ φιλολογεῖν. τὸ δὲ εἴθε σχεδόν τι ὄνομά ἐστιν εὐχῆς· οὐ γὰρ συμπαρίσταται καὶ τὸ ἐφ' ᾧ τὰ τῆς εὐχῆς. ὥσπερ ἄρα καὶ τὸ εἷς διαφέρει τοῦ ἄνθρωπος. ἢ τὸ μὲν εἷς ὄνομά ἐστι μοναχῶς ἀριθμοῦ. τὸ δὲ ἄνθρωπος πρὸς τῷ τῆς κοινῆς οὐσίας σημαινομένῳ παρυφιστάμενον ἔχει τὸ εἷς.

Ὡσαύτως δὲ καὶ τὸ ἐγὼ πρὸς τὸ γράφω ἔχει. καὶ τὸ ἄλλοθεν πρὸς τὸ ἰλιόθεν. καὶ τὸ τάχιστος δὲ τὴν ἐπίτασιν ὡς ἐν ὑποκειμένῳ σημαίνει. οὐκέτι δὲ καὶ τὸ ἄγαν. αὐτὸς γὰρ μοναχῶς ἐπιτάσεώς ἐστιν ὄνομα. Ὁμοίως δὲ καὶ τὸ γράφον, πρὸς τὸ ἄγε. τὸ δὲ αἴθ' ὄφελον παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, οὐκ ἐκ παραλλήλου· διάκρισιν γὰρ παρυφίστησι προσώπου τὸ ὄφελον ἥτις οὐκ ἔνεστι τῷ εἴθε.

Ὑποτακτική.

Τὴν δὲ ὑποτακτικὴν ἔνιοι καὶ διστακτικὴν καλοῦσιν, ὅτι οὐκ ἔστι χωρὶς συνδέσμου διστακτικοῦ τοῦ ἐάν. οὐ καθόλου δὲ τὸ τοιοῦτο. καὶ οἱ καλούμενοι γὰρ ἀποτελεστικοὶ σύνδεσμοι, ὑπὸ τὴν αὐτὴν σύνταξιν φέρονται. σωκράτης περιπατεῖ ἵνα ὑγιαίνῃ. ὅτι μὲν οὖν οὐ συνίσταται εἰ μὴ ὑποταγῇ τοῖς προκειμένοις συνδέσμοις προσαγορεύεται ὑποτακτική. φέρεται δὲ ἡ τοιαύτη μετὰ τοῦ ἐὰν καὶ τῶν ἴσων ἐπὶ μέλλοντα ἢ ἐνεστῶτα. οἷον ἐὰν φιλολογῶ, παρέσται

μὴν ἡ ὁριστικὴ τὴν ἔχουσαν κατάφασιν, οὐκέτι ἂν καλεῖτο ὁριστική. εἰς γὰρ ἐπερώτησιν μέτεισιν. ἆρα γράφεις;

Προστακτική.

Η δὲ προστακτική, δῆλον ἂν ἔχῃ τὴν σύνταξιν τῶν δευτέρων προσώπων, κἂν ὁμόφωνα ᾖ τοῖς ὁριστικοῖς. ἥ τε γὰρ σύνταξις κλητική. τό, τε συντασσόμενον πρόσρημα τὸ ἄγε, ἀφίστησι τὴν ἀμφιλογίαν. τὰ δὲ πρωτοπροσωποῦντα οὐ προστακτικά. ἀλλ' αὐθυπότακτα οἱ πλεῖστοι καλοῦσιν. ἔοικε δὲ τὰ τῆς ἐγκλίσεως συγκεχύσθαι καὶ δύο ἐγκλίσεις εἰς μίαν συμπεπτωκέναι. ὅτι γὰρ οὔτε προσκαλούμεθα ἑαυτούς, οὔτε μὴν προστάσσομεν ἑαυτοῖς, ὑποτιθέμεθα δέ, ὑποθετικὰ ἂν τὰ τοιαῦτα. συλληπτικὰ δή. ἵνα γὰρ ἐκκλίνῃ τὴν ἐν δευτέρῳ πρόσταξιν, σύλληψιν δὲ ἔχεται εἰς τὸ πρῶτον ὑποθετικῶν ὄν. τὸ μὲν οὖν ἐλλεῖπον τῶν προστακτικῶν πρῶτον, καὶ τὰ ἐλλείποντα τῶν ὑποθετικῶν δεύτερα καὶ τρίτα, εἰς ἕνωσιν ἄγει τὰς δύο ἐγκλίσεις, ἵνα ἑκατέρα ἀναπληρῶται. τὸ δὲ τρίτον τῶν προστακτικῶν πρόταξιν ἀπόντος προσώπου δηλοῖ, δευτέρου ἐξ ἀνάγκης παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως. ἀσύστατος γὰρ ἦν ἡ πρόσταξις ἄνευ δευτέρου.

Εὐκτική.

Η δ' εὐκτικὴ ἀπὸ τῆς γινομένης εὐχῆς ὀνόμασται. καὶ ἐπιρρήματα ἔχει. εἴθε, ἃ τοῖς μὲν εὐκτικοῖς εἰς πλείονα ἐπίτασιν παρατίθεται. τοῖς δὲ ὁριστικοῖς δεόντως. εἴθε ἔγραψεν. ἵνα ἡ ὁριστική, εὐκτικὴν ἀναδέξηται σύνταξιν. διαφέρει δὲ τὸ πρὸς τὰ

Ανάλυσις ῥήματος.

Ἀνάλυσις δ᾽ ἁπλῶς τῶν ῥημάτων εἴς τε τὸ σύστοιχον ὄνομα, ἢ τὴν μετοχὴν, καὶ εἰς τὸ ὁμοειδὲς ὑπαρκτικόν. καὶ ἡ κατ᾽ εὐθεῖαν, ἢ κατὰ γενικήν. οἷον λύκιοι συνεμάχουν τοῖς τρωσίν. σύμμαχοι τοῖς τρωσὶν ἦσαν, τῶν συμμάχων ἦσαν συμμαχοῦντες ἦσαν. τῶν συμμαχούντων ἦσαν πληροῦμαι. πλήρης γίνομαι. τῶν πληρουμένων εἰμί. καὶ δὴ οὕτω ταῦτα.

Ἔγκλισις.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι ἐγκλίσεων, λόγος βούλημα εἴτ᾽ οὖν πάθημα ψυχῆς διὰ φωνῆς σημαινόμενον.

Ὁριστική.

Καλεῖται δὲ ἡ ὁριστικὴ, καὶ ἀποφαντικὴ, ἰδίως μέντοι ὁριστικὴ. ὅτι διὰ ταύτης ἀποφαινόμενοι ὁριζόμεθα. ὅθεν δὴ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι, καὶ προσέτι οἱ αἰτιολογικοὶ τείνουσιν ἐπὶ ταύτην. γέγραφα, λέγω. ὅτι γέγραφα. καὶ ὅτι περιπατῶ κινοῦμαι. ἔχει δὲ τὰ ὁριστικὰ σφίσι τὴν κατάφασιν ἐγκειμένην. διὸ καὶ τὸ ἀποφαντικὸν ἐπίρρημα κατάλληλον τοῖς τοιούτοις, ἵνα τὴν ἐνοῦσαν κατάφασιν ἀποστήσῃ οὐ γράφω. οὐ μὴν δὲ καὶ τοῖς προστακτικοῖς. ἢ εὐκτικοῖς, ἢ ὑποτακτικοῖς. τὸ μέντοι ἀπαγορευτικὸν, μὴ τοῖς τοιούτοις οἰκεῖον. καὶ οὖν λεγόμενον. μὴ γίνωσκε. μὴ γνοίης, μὴ γνῷς. οὐ μὴν ἀλλ᾽ οὐδὲ τοῖς ἀπαρεμφάτοις τὸ οὐ, συντάσσεται οὐδὲν γὰρ οὐδ᾽ αὐτὰ καταφάσει. ἀποβάλλουσά γε

μὴν ὡς τὸν θεόν. κάθημαι. ἢ κεῖμαι ἐνταῦθοῖ.

Ἔτι εἰ κατ' αἴσθησιν ἀναληπτικόν, ἢ ἄλλως ἀντιληπτικόν, καθ' ὑπεροχὴν ὀρεκτικόν. γενικῇ γὰρ ταῦτα ὡς τὸ δεύτερον ἅπτομαι. ὀσφραίνομαι, χρῄζομαι, ὀρέγομαι, ἐφίεμαι, περιέχομαι. ἀντιλαμβάνομαι περιγίνομαι. κοινὸν δὲ ἡ τῆς αἰτίας χρῆσις ἁπανταχοῦ. διὸ, ἐφ' ὅ. ἵνα, καὶ ὅπως ἂν ἄλλως φράζειν ᾖ πρὸς τὰ δέξαντα.

Ἀπρόσωπον.

Τῶν δ' ἀπροσώπων ὀνομαζομένων διὰ τὸ μὴ παριστάναι πρόσωπον. τὰ μὲν καθ' αὑτὰ κεῖται ἥκιστα πρὸς ἕτερον συντάττεσθαι πεφυκότα. οἷον τὰ παθητικά, λέγεται, θύεται, λύπεται, εἴρηται, εἰρήσθω, καὶ τὰ ὅμοια.

Πλὴν εἰ μὴ περιποιητικῶς. οἷον ἤκουσταί μοι. καὶ ἔγνωσταί μοι. καὶ ὡς τὰ παθητικά. ἤκουσται ὑπ' ἐκείνων.

Τὰ δὲ πρὸς ἕτερον, ἢ κτητικῶς, ἢ περιποιητικῶς, ἢ μεταβατικῶς.

Τὸ μὲν οὖν κτητικὸν εἰς γενικὴν καὶ ἅμα δοτικὴν περιποιητικῶς. μέτεστι τούτου ἐμοί. διαφέρει, ἢ μέλει, ἢ δεῖ, ἢ προσήκει τούτου ἐμοί.

Τὸ δὲ περιποιητικὸν εἰς ἀπαρέμφατον καὶ δοτικήν. ὡς εἰκός, ἔξεστι συμβαίνει προσήκει. πρέπει. δοκεῖ τῇ βουλῇ, καὶ τῷ δήμῳ πέμψαι πρέσβεις.

Τὸ δὲ μεταβατικὸν, εἰς ἀπαρέμφατον μοναχῶς. δεῖ φάναι. χρὴ λαβεῖν. ἐνδέχεται εἶναι. φιλεῖ γενέσθαι. δεῖ εἰπεῖν. κοινὸν δὴ οὖν καὶ τοῦτο τὸ ἀπαρέμφατον. ἀλλ' ἢ παρῳχημένου, ἢ ἐνεστῶτος. μέλλοντος δὲ οὐδέ ποτε.

βαίνω τὸ ὄρος. τρέχω ἐπὶ τὴν ἀγορὰν. ἀλλὰ καὶ τρέχω τὸ στάδιον. τὸ μὲν ἁπλῶς, τὸ δὲ ὁλοενεργητικῶς.

Μέσον.

Τὰ δὲ μέσων εἴτ' οὖν κοινῶν, ἡ αὐτὴ σύνταξις καὶ αὐτῶν τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς. ἀμφοτέραις γὰρ ἐφαρμόζει ταῖς διαθέσεσι. θύομαι οὖν τῷ θεῷ, καὶ θύομαι ὑφ' ἑτέρου τῷ θεῷ. βιάζομαι τὸν ἐχθρὸν. καὶ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ. καὶ ὅλως κατὰ τὰ διωρισμένα εἴδη σχηματιστέον ἢ συντακτέον. ἐπαινέσομαι ἀρετὴν τὰ εἰκότα. καὶ ἐπαινέσομαι ὑπὸ τοῦ φίλου.

Ἐπιμέσον.

Καὶ τοῦ ἐπιμέσου ἢ τὸ μὲν αὐτενεργητικὸν, τὴν αὐτὴν τῷ ἐνεργητικῷ σύνταξιν ἔχει ὡς καὶ αὐτὸ σημαντικὸν ἐνεργείας ὄν. τὸ δὲ ὁλοπαθητικὸν, τὴν αὐτὴν τῷ παθητικῷ. ἐνεργητικῆς γὰρ ἀμοιροῦν οὐ χρήσου γε προφορᾶς, παθητικῶς σημαίνει τι παθητικόν. γίνομαι. οἴχομαι. κέμῶμαι.

Τόποι ἐπιμέσου.

Σκοπεῖν δὲ καὶ περὶ τοῦ ἐπιμέσου τοῦ δὲ, εἰ περιποιητικόν. ἢ ἀντιστατικὸν, καὶ ἐναντιωματικὸν ταῦτα γὰρ δοτικῇ ὡς τὸ πρότερον. χρῶμαι. ἥδομαι. ἱππάζομαι. μάχομαι. ἀγωνίζομαι. ἐναντιοῦμαι. ὀργίζομαι. ἀντίσταμαι.

Ἔτι εἰ ἐπικρατείας σημαντικὸν, αἰτιατικῇ γὰρ ὡς τὸ πρῶτον, κέκτημαι, ὠνοῦμαι, μιμοῦμαι.

Ἔτι εἰ ἀτελὲς, ἀπαιτεῖ γὰρ τὸ εἰς τι. ἢ ἔν τινι, ὡς ἐπὶ τῶν οὐδετέρων ἐλέχθη προσδεόμενα ἄθυμαζε. ὠχό.

ἢ διαιρετικῶς. ἢ ὅπως ἂν ἄλλως ἐγχωρῇ φράζειν τὸ αἴτιον. τῶν δὲ περιποιητικῶν, ἡ δοτική συμβαίνω, ὑπάρχω. ὑποχωρῶ. εἴκω. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν συντακτέον κατὰ τὰ κοινῇ εἰρημένα.

Αὐτοπαθητικόν.

Τὸ δ' αὐτοπαθητικὸν οὐδέτερον μέν τοι καὶ αὐτό, ὡς μὴ μετασχηματιζόμενον τῇ μαι, εἰς παθητικὴν σημασίαν αὐτοπαθητικὸν δὲ κληθὲν ἀνὰ μέρος εἴληπται, ἢ πάθος ἀφ' ἑαυτοῦ τυγχάνει δηλοῦν, καὶ ἀντιδιαιρούμενον τῷ ὁλοενεργητικῷ καὶ τῷ αὐτοουδετέρῳ. οἷα, τὰ, πάσχω. φθίνω. ἔρρω. ἀλγῶ. φρίττω, πυρέττω. ἐρυθριῶ. νοσῶ. ἀποθνήσκω, καὶ τὰ ὅμοια. Σύνταξις δὲ τοῦ τοιούτου ἡ αὐτὴ τοῖς παθητικοῖς ὡς εἰκός. πάσχει ὑπὸ τοῦ ποιοῦντος. φθίνει ὑπὸ τοῦ φθείροντος. τὸ δ' ἐκ τοῦ. καὶ καθ' ὅ, καὶ δι' ὅ, καὶ ὅλως τὸ αἰτιολογικὸν, κοινόν. καὶ ἔτι τὸ ἐπιβατικόν. καὶ τὸ συνεκδοχικὸν τῆς συντάξεως. πάσχω τοῦτα. καὶ νοσῶ νόσον. καὶ ἀλγῶ τὴν κεφαλήν.

Ὁλοενεργητικόν.

Τὸ δὲ ὁλοενεργητικὸν, τὴν πρὸς αἰτιατικὴν βούλεται σύνταξιν. οἷον φεύγω σε. καὶ λανθάνω. καὶ κρύπτω. καὶ παραλλάττω. καὶ παρελαύνω. καὶ θέλω. καὶ ἀναβαίνω.

Αὐτοουδέτερον.

Τοῦ δ' αὐτοουδετέρου, ἡ αὐτὴ σύνταξις τοῖς ἀπολελυμένοις ἐστίν. ἀπολελυμένον γάρ τοι καὶ τὸ τοιοῦτο. οἷον ζῶ. πλουτῶ. ὑγιαίνω. δῆλον οὖν ὅτι πρὸς τὰς διαφόρους τῶν αὐτῶν δυνάμεις καὶ χρήσεις τὴν σύνταξιν ποιητέον, κατὰ τὰ ὑποτεθέντα. ἀνα

γητικὸν συντετάξεται κοινὸν μὲν τὴν ἐκ πρώτου ὀνομαστικὴν ἔχον. ἴδιον δὲ τὴν ἐκ τρίτου γενικὴν ὁμοῦ τῇ ὑπὸ, ἢ τῇ πρὸς. ἢ τοῖς ἴσοις ὡς εἴρηται ἀντεστραμμένος τοῖς ἄκροις. Σωκράτης φιλεῖ Φαῖδρον. Φαῖδρος φιλεῖται ὑπὸ Σωκράτους, καὶ διδάσκεται πρὸς αὐτοῦ. κοινὸν οὖν καὶ τὸ ἐκ τετάρτου. καὶ ὁμοιόπτωτον. πλὴν ἀντὶ τῆς κλητικῆς. ταύτῃ γὰρ πρὸς εὐθεῖαν. καλοῦμαι Σωκράτης. λεγόμενον οὖν βιβλίον πωλεῖται ὑπὸ Κορίσκου στατήρων πολλῶν. χρυσίον δίδοται πρὸς τοῦ πλουτοῦντος τῷ πένητι. ἴδιον δὲ μάλιστα τοῦ παθητικοῦ τὸ συνεκδοχικὸν τῆς συντάξεως. οἷον πλήττομαι τὸν πόδα. ἀλγῶ τὴν κεφαλήν.

Οὐδέτερον ὑπαρκτικῶς.

Τ ῶν δὲ οὐδετέρων τὸ μὲν ὑπαρκτικὸν ὀνομαστικῇ ἐκ τρίτου συντάσσεται. Σωκράτης ἐστὶν, ἢ τυγχάνει λευκός. τὸ γε μὴν τυγχάνει βέλτιον εἰς εὐθεῖαν μετοχικὴν ἐκ τρίτου. σωκράτης τυγχάνει ὢν ἀγαθός. ἣν δὲ ἡ μετοχὴ μὴ ὑπαρκτικοῦ ἡ ὀρθὸς δεῖ ἐκ τετάρτου. ἐντελῶς γὰρ φαμὲν, Σωκράτης τυγχάνει περιπατῶν, ἢ διαλεγόμενος, τἄλλα δὲ κοινὰ πρὸς τὸ ἐνεργητικόν.

Τ ἄν τε οὖν κατ' εἰς πομπήν τε καὶ κτῆσιν, ἢ ἐκ τρίτου γενικὴ, κρείζω, δέχω, πληθύω, δέω, ἀπορῶ, εὐπορῶ, ἀμοιρῶ, ἀπολαύω, τρυφῶ, ὄζω.

Β ρίθω δὲ, καὶ εὐθηνῶ ὀργανικῶς δοτικῇ. καὶ ὅλως τῶν ἀπολελυμένων ἐπὶ δοκεῖ προστιθέναι. οἷον ἀγρυπνῶ. καὶ γρηγορῶ, καὶ ζῶ, καὶ πλουτῶ, ἀρετῇ

Ε τι εἰ ἀποδεικτικῶς. καὶ εἰς ἀρετὴν ἀποδεκτικῶς ἐπαινῶ, θαυμάζω, εὐδαιμονίζω, ζηλῶ, ἀποδέχομαι.

Ε τι μετουσιαστικῶς τε καὶ μεταδοτικῶς. κοινωνῶ, μετέχω. μεταδίδωμι. ἀξιῶ.

Ε τι εἰ φιλικῶς, ἢ οἰκτικῶς. φιλῶ, ἀγαπῶ, ἐλεῶ, οἰκτείρω.

Κ αθόλου δὲ τὸ περὶ τὴν αἰτίαν ἐλλεῖπον μέμφομαί σοι ἀχαριστίας. αἰτιῶμαί σε διαβολῆς. κατηγορῶ σου κλοπῆς.

Ε τι εἰ ἀποφάσει χρόνου παρήκοντος συντελοῦς δέοι προσθεῖν χρονικὸν προσορίζεσθαι, οὐκ ἦλθον. οὐκ εἶδον, οὐκ εἶπον χρόνου πολλοῦ.

Ε τι εἰ τὸ ἐγγὺς τοῦ γενέσθαι καὶ παρὰ μικρὸν συμβεβηκέναι δηλῶσαι δέοι, μικροῦ παρῆλθον. μικροῦ διέφυγον.

Ε τι εἰ ἀπὸ μέρους. οἷον κρεμᾶσαι τοῦ ποδός. πίνω τοῦ ὕδατος. δρέπομαι τῶν ἀνθέων.

Ε τι εἰ καιροῦ ὡρισμένου χρεία. οἷον ἡμέρας τε καὶ νυκτὸς ἐργάζεται. ἑσπέρας ἧκεν. χειμῶνος καὶ ἔαρος αἱ κοιλίαι θερμαί εἰσι.

Φ ανερὸν οὖν καὶ ὡς τὸ αὐτὸ ῥῆμα λαμβανόμενον διαφόρως δηλώσει τε ἑαυτοῦ τῷ εἴδει καὶ διαφόρως προσαγορευθήσεται καὶ συντάξεται. οἷον τὸ λύω σωματικὸν μὲν ἡ διὰ σωματικῆς ἐνεργείας τῶν λυόντων. διαιρετικὸν ἢ τὸ λυόμενον γίνεται ἔξω δεσμοῦ. παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων θεωρητέον. καὶ πρὸς τὸ ζητούμενον ἀεὶ συντακτέον.

Παθητικόν.

Τ ὸ δὲ παθητικὸν δῆλον, ὅτι ὁσαχῶς καὶ τὸ ἐνεργ-

Η εἰδικῶς ἐν τῷ καθό σημαίνει δοκεῖ. οἷον, φησὶ σὲ περὶ τὸν βασιλέα ἐληλυθέναι.

Η ἐλλειπτικῶς τῆς κατά. δῆλον δ᾽ ἐκ τῆς τῶν τόπων ἐκθέσεως.

Τ τόποι δὲ τοῦ μὲν τελικοῦ, ἔνθα τὸ ἵνα ἁρμόττει. οἷον τάττωσε, ἵνα πλεονεκτῇ τῶν ἄλλων.

Τ τοῦ δὲ εἰδικοῦ, ἔνθα τὸ ὅτι φασίν, ὅτι ἐληλύθασιν οἱ περὶ τὸν βασιλέα.

Τ τοῦ δὲ ἐλλειπτικοῦ δευτέρου, ἔνθα χρόνον δηλῶσαι δέοι ποσόν. οἷον ἔζησεν ἔτη πολλά.

Η τὸ ἀπ᾽ αὐτοῦ τοῦ ἐνεργοῦντος προσώπου καὶ πάσχοντος. οἷον φθείρεις τὰ κοινὰ τὸ σὸν μέρος.

Η τὸ κατά τι. οἷον ἐντίκτουσιν τὰ πολλὰ αἱ γυναῖκες, καὶ σοφὸς τὰ μηχανικά.

Η τὸ αἴτιον οὐ πάνυ τοι τῷ ὀργανικῷ ἀνομοίως. οἷον πάντα δὲ ταῦτα γέγραφε τὸν εἰρημένον τρόπον ὡς ἂν εἰς βιβλίων καταθοῖτο.

Τόποι τοῦ αἰτιολογικοῦ καὶ ἐλλειπτικοῦ.

Υ ποκείσθωσαν δὲ καὶ τοῦ αἰτιολογικοῦ καὶ ἐλλειπτικοῦ τόποι τοιοίδε. σκοπεῖν εἰ αὐταλλαγματικῶς, καὶ ἀντιτιμητικῶς ὠνοῦμαι. πωλῶ. ἀλλάττω. ἀποτιμῶ.

Ε τι εἰ πληρωτικῶς. γεμίζω. πληρῶ. κενῶ.

Ε τι εἰ διαιρετικῶς τε, καὶ ἀφοριστικῶς, καὶ ἐκστατικῶς, καὶ ἐφεκτικῶς. γυμνῶ. ἀπαλλάττω. ἀφίστημι. ἀπολύω. κωλύω. ἀναστέλλω. συγχωρῶ. ὑπείκω. κουφίζω. ἀμβλύνω. καθαίρω. περιαιρῶ. ψεύδω.

Τοῦ δὲ τρίτου τὰ περιποιητικὰ, καὶ ἀντιπεριποιητικά. οἷον δήλωμι. πέμπω. λέγω. χαρίζομαι. ἀντιλέγω. παλαίω. ἐναντιοῦμαι, ἀμφισβητῶ. μάχομαι. Καθόλου δὲ πᾶν ῥῆμα ὅπως ἂν ἔχῃ, καὶ ὡς περιποιητικὸν ἔστι λαμβάνειν τοῦτο. ὠφελῶ γάρ τοι ἀνθρώπους. ἀλλὰ καὶ ὠφελῶ ἀνθρώπους τῇ πόλει. διδάσκω τὸν νέον. καὶ διδάσκω σοι τὸν νέον. ὥσπερ ἄρα καὶ πᾶν εἴη ἂν ἐνεργείας ἐλάσσονος ἐνεργητικόν. ὠνάμην ὁπόσα ἔδει τἀνδρός. ἐχρησάμην πάμπολλα τῷ ἀνδρί. ὠφέλησα προθύμως τὰ δυνατά. εἰλήφθω δὲ καὶ ὡς περιποιητικὸν καὶ τὸ δουλεύω. πιστεύω. καὶ ὑπηρετῶ. καὶ ἀκολουθῶ. καὶ εἴκω. καὶ τὰ ὅμοια.

Δῆλον δ᾽ ἐκ τούτων καὶ ὅπως τοῖς συγκειμένοις χρησώμεθα. ἐκ γὰρ τῶν εἰρημένων ἁπλῶς συνθέντες ὡς ἂν τὰ παρὰ τῆς χρείας καὶ διανοίας ἀπαιτῇ, φθεγξόμεθα.

Ἤτοι διαβατικῶς εἰ δεῖ τοῦ κατ᾽ ἐνέργειαν πράγματος. οἷον ὠφελῶ ἀνθρώπους τὰ δυνατά. παρέχομαι χρήματα ἀνδρὶ πένητι.

Ἢ αἰτιολογικῶς, καὶ ἐλλειπτικῶς. εἰ δεῖ τῆς αἰτίας δι᾽ ἧς ἡ ἐνέργεια. οἷον ἐπαινῶ σωκράτην τῆς ἀρετῆς. ὠνοῦμαι πυροὺς στατήρων τριῶν. μεταδίδωμί σοι τοῦ περιόντος.

Ἢ ὀργανικῶς. εἰ ὅθεν ἡ κατ᾽ ἐνέργειαν κίνησις φαίνεται δέοι. οἷον φθόνῳ οὐκ ἐπαινεῖ κλέων τὰ καλά.

Ἢ τελικῶς. εἰ τὸ οὗ ἕνεκα δέοι προσδηλῶσαι. οἷον τάττω σε προηγεῖσθαι τῶν ἄλλων.

γω, ἐλαύνω, νικῶ.

Ἔτι εἰ προτρεπτικά, παρακαλῶ, ἐρεθίζω, προτρέπω, παρορμῶ, παροξύνω.

Ἔτι εἰ κλητικά, φωνῶ, ὀνομάζω, καλῶ.

Ἔτι εἰ ἐπιστημονικά, οἰκοδομῶ, σκυτοτομῶ, ἰατρεύω.

Ἔτι εἰ διαψευστικά· πλανῶ, ἐξαπατῶ, φενακίζω, κλέπτω, παραλογίζομαι.

Ἔτι εἰ διδασκαλικά. ἢ διαθετικά· παιδεύω, σωφρονίζω, πείθω, διδάσκω, ψύχω, θερμαίνω, διατίθημι.

Ἔτι εἰ οἰκτικά, ὀδύρομαι, κλαίω, θρηνῶ, οἰκτίζω, ἐλεῶ.

Ἔτι εἰ ἱκετευτικά. ἀντιβολῶ, ἱκετεύω, ἐκλιπαρῶ, λιτανεύω, ἐρωτῶ. ἐν ἴσῳ τῷ παρακαλῶ, γουνοῦμαι.

Ἔτι εἰ συμβολαίων σημαντικά. πωλῶ, ἀγοράζω, συμβάλλω.

Ἔτι εἰ φυσικά. οἷον γεννῶ, καὶ φύω, καὶ αὔξω. αἰτιατικῇ γὰρ τὰ τοιαῦτα.

Τόποι τοῦ δευτέρου.

Τοῦ δὲ δευτέρου τὰ κατ' αἴσθησιν ἀναληπτικά. οἷον αἰσθάνομαι. ἀκούω, ἅπτομαι, γεύομαι, ὀσφραίνομαι, ἐρῶ, ἐπιθυμῶ. τὸ δὲ ὁρῶ αἰτιατικῇ· διὰ τὸ ἐνεργεστάτην εἶναι τὴν ὄψιν καὶ ἐπὶ πλέον διήκειν. καὶ τὰ τούτοις συνωνυμοῦντα. ὁρῶμαι. θεῶμαι.

Καὶ τὰ φροντιστικά, καὶ κτητικά, φροντίζω, ἐπιμέλομαι, φείδομαι, ἀπολαύω, κοινωνῶ. μετέχω, μέμνημαι.

Καὶ τὰ ἀρχικά. βασιλεύω, δεσπόζω, κυριεύω, τυραννῶ, ἄρχω. κρατῶ. εἴη δ' ἂν καὶ ὡς κτητικὰ τὰ τοιαῦτα.

Καὶ τὰ διαφορικά. καὶ τὰ ἀποστηματικά. καὶ ἐκστατικά· διαφέρω, χωρίζομαι, ἀπέχω, στέρομαι, ἁμαρτάνω.

οἷον διαλῶμαί σοι χρυσίον τῆς παρούσης ἕνεκα χρείας, ὅπως πριάμενος ὧν ἂν δέῃ ἔχῃς. ἢ ὥστε πρίασθαι ὧν ἂν δέῃ.

Ἐπιβατικά.

Εἰλήφθω δὲ καὶ τὸ μάχομαι μάχην. καὶ ζῶ ζωήν. καὶ δουλεύω δουλείαν. καὶ πάντα τὰ τοιαῦτα ὡς ἐπιβατικά. καλῶ γὰρ ἐπιβατικόν, τὸ τοῦ διαβατικοῦ ἐλλειπτικόν. οἷον διδάσκω γραμματικά.

Τόποι τοῦ πρώτου.

Τόποι δὲ τοῦ μὲν πρώτου, τὰ ὁπωσοῦν ἐνεργητικά. εἴτε κατὰ μείζω ἐνέργειαν. οἷον τιμῶ Σωκράτην. εἴτε καὶ ἐλάσσω. οἷον τὸ λέγω τὰ δέοντα, καὶ φρονῶ τὰ εἰκότα. Σκοπεῖν οὖν εἰς τὴν σωματικὴν διάθεσιν ἀναφέρεται. οἷον γυμνάζω. κινῶ. νύττω. πλήττω. φθείρω. δέω δεσμῶ. βρέχω. βιάζομαι. τρίβω. κρατῶ. κείρω. θερίζω. καίω.

Ἔτι εἰ τὴν ψυχήν τε, καὶ ἦθος, φιλῶ, ἀγαπῶ, στέργω, δικαιῶ, ἀδικῶ, βλάπτω, ὠφελῶ, ὑβρίζω, ἀνιῶ, λοιδορῶ.

Ἔτι εἰ τὰ δεικτικά. ἐπαινῶ, ἐγκωμιάζω, ὑμνῶ, ᾄδω, εὖ λέγω.

Ἔτι εἰ σεπτικά. τιμῶ, σέβω, πρεσβεύω, προσκυνῶ, κολακεύω, αἰδοῦμαι.

Ἔτι εἰ ὑπονοητικά. καὶ δοξαστικά. ἢ γνωστικά, νοῶ, κρίνω, οἶδα, οἴομαι, ὑφορῶμαι.

Ἔτι εἰ προαιρετικά. βούλομαι. προαιροῦμαι. ἐθέλω.

Ἔτι εἰ ζητητικά ἐξετάζω, ἀνακρίνω, ἐρωτῶ, ἐρευνῶ, εὑρίσκω.

Ἔτι εἰ ἐπικρατητικά. ἔχω, φυλάσσω, ἀναγκάζω, εἴρ

Τ ὁ δὲ εἰς δοτικήν. οἷον διδάσκω σε τύχῃ ἀγαθῇ. δέομαί σου ὅλῃ ψυχῇ. δίδωμί σοι χεῖρα. καλείσθω δὲ ὀργανικόν.

Τ ὁ δὲ εἰς ἀπαρέμφατον διχῶς δέ, ἢ γάρ τοι ὡς εἰς τέλος. ἢ ὡς εἰς εἶδος. ὅθεν δὴ καὶ τῇ μὲν τελικὸν τῇ δὲ εἰδικὸν καλείσθω. διδάσκω σε διαλέγεσθαι. δέομαί σου βοηθῆσαι. δίδωμί σοι πρίασθαι.

Λ έγω Σωκράτην γεγονέναι σοφόν. οἶμαι πάντας ὁμολογήσειν.

Π ροσκείσθω δὲ καὶ ἕτερόν τι εἰς αἰτιατικὴν κοινότερον. διδάσκω σε χρόνον συχνὸν τὰ γραμματικά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. καλείσθω δὲ ἐλλειπτικὸν δεύτερον. Καὶ ἔτι ἕτερόν τι ὁμοίως εἰς ὁτιοῦν τῶν προσηκόντων ὑπὸ ῥημάτων ἢ δι' ἡστινοσοῦν τῶν προθέσεων. διδάσκω σε νῦν, ἢ ἡδέως, ἢ ὡς ἂν ἄλλως κατηγορεῖν πρὸς τὴν χρείαν δοκῇ. καὶ ἀσθενὴς τὴν διασχηματίαν. καὶ ὅπως ἄλλως χρεῖσθαι προθέσει κατὰ λόγον ἂν ᾖ. καλείσθω δὲ τῇ μὲν προσρηματικόν, τῇ δὲ ἑτεροτελές. τὸ σύνολον δέ τοι συγκατηγορηματικόν. Τὸ δ' ἐλλειπὲς, ἢ πληρέστερον τῆς συντάξεως πρὸς τὸ δοκοῦν ἱκανῶς ἂν ἔχειν ἔσται ἐκ τῶν εἰρημένων. οἷον διδάσκω σε διαλέγεσθαι. διδάσκω σε τὰ γραμματικὰ διαλέγεσθαι εὖ. ἐπεὶ κἂν εἰς ἓν συλλαμβάνοντα τὰ συγκείμενα προστιθέναι ἑκάστου, τῶν ἁπλῶν εἴη ἄν. οἷον δίδωμί σοι χρυσίον τῆς χρείας χεῖρα τῇ ἐμαυτοῦ πρίασθαι ὧν ἂν δέῃ. φράζειν μέντοι ἐπὶ τὸ σαφέστερον δεῖ ἐπεντιθέντας, ἢ σύνδεσμον, ἢ πρόθεσιν, ἢ ἐπίρρημα, ἢ ὡς ἂν ἄλλως εὖ ἔχῃ ἑλληνισμοῦ.

Σωκράτης καὶ Πλάτων. Σωκράτης φιλοσοφεῖ καὶ Πλάτων.

Σχήματι δὲ περιζευκτικῷ. ἐὰν πληθυντικῶς φιλοσοφοῦσι Σωκράτης καὶ Πλάτων. Σωκράτης φιλοσοφοῦσι καὶ Πλάτων.

Ἔτι φύσει ἐὰν ὑποτάσσηται. πληθυντικῶς. Σωκράτης καὶ Πλάτων φιλοσοφοῦσι.

Σχήματι δὲ συζευκτικῷ, ἐὰν ἑνικῶς. Σωκράτης καὶ Πλάτων φιλοσοφεῖ. ᾧ ἀντίκειταί πως τὸ περιληπτικόν. ὡς φασὶν ἡ πληθύς. καὶ ἐσκίδναντο ἕκαστος. Ἐκδέχονται μὲν οὖν αἱ πλάγιαι τὰ ῥήματα μεταβατικῶς. οἷς ἀμεταβάτως ἡ εὐθεῖα συντάσσεται.

Ἤδη τῶν μεταβατικῶν προσωπικῶν. ἤδη δὲ τοῖς καθ' ἕκαστα μεταβάσεως τῶν προσωπικῶν ὑποκείσθωσαν καθόλου τε καὶ ἁπλᾶ τρία.

Πρῶτον μὲν εἰς αἰτιατικὴν τῶν κατ' ἐκπομπὴν θεωρουμένων. οἷον διδάσκω σε, καὶ διδάσκω γράμματα.

Δεύτερον δὲ εἰς γενικὴν τῶν κατ' εἰσπομπήν. οἷον δέομαί σου.

Τρίτον δὲ εἰς δοτικὴν τῶν κατὰ περιποίησιν. οἷον δίδωμί σοι.

Τέταρτα δὲ συγκείμενα ἄλλα, ἐκ τῶν εἰρημένων κοινά. τὸ μὲν, εἰς αἰτιατικήν. οἷον διδάσκω σε τὰ γραμματικά. δέομαί σου τὰ δίκαια. δίδωμί σοι χρυσίον. καλείσθω δὲ διαβατικόν.

Τὸ δὲ εἰς γενικήν. οἷον διδάσκω σε τοῦ καλοῦ, δέομαί σου τῆς χρείας μετὰ δίδωμί σοι τῆς ἐνδείας. καλείσθω δὲ αἰτιολογικόν, ἢ ἐλλειπτικόν.

Τὸ δὲ

προσληφθέντα παρίσταται. ὥστ᾽ εἴτις τὰ τοιαῦτα κλίνει εἰς παθητικὰς προφορὰς, μελέτημα φωνῆς οὐ φυσικήν τινὰ καὶ συστατὴν κλίσιν ποιεῖται. οἷον εἰ καὶ ἀρσενικόν τι γαλουχήσασα, καὶ ἐκτρώσασα λέγοι, ἢ ἑτέρου του, τῶν κατὰ φωνὴν μὲν συμπιπτόντων ἐν παραδοχῇ δὲ λόγου μὴ δυναμένων. τὰ μὲν οὖν οὐδέτερα αὐτὸ μόνον ἐμφαίνει ὁρισμὸν τῷ συνεῖναι τὸ σημαινόμενον. οἷον τὸ ζῶ. ἢ φρονεῖν, ἢ γηρᾶν. καὶ τὴν εἰς μαι, κατάληξιν οὐ προσίεται τὸ παράπαν.

Μέσων, καὶ αὐτοενεργητικῶν.

Ἀνάπαλιν δὲ τὰ μέσα καὶ αὐτοενεργητικὰ, τούτοις γὰρ ἀπαράδεκτον τὸ λῆγον εἰς ω. βιάζομαι. μάχομαι. δῆλον οὖν ὅτι παντὸς παθητικοῦ εἰς μαι, λήγοντος ἐνεργητικὸν δεῖ παραδέξασθαι, ἐὰν μετὰ τῆς λέξεως, καὶ τὰ τῆς συντάξεώς τε, καὶ διανοίας σώζεται. οἷον φιλῶ σε, ὅτι φιλοῦμαι. ἔχει δὲ ἄρα ἅπαντα πτῶσιν περιφερομένην ἐκ πρώτου ὀρθήν. ἢ καὶ συμφέρεται ἤτοι λεγομένη, ἢ νοουμένη τῶν πάσης κλίσεως καὶ ἀριθμοῦ, καὶ προσώπου, καὶ χρόνου. πλὴν τῶν ἀπαρεμφάτων. ταῦτα γὰρ αἰτιατικὴν περιέχει.

Συμπλοκὴ λόγου.

Ἤγουν ἓν συνάπτεται ἑνί. οἷον Σωκράτης φιλοσοφεῖ. ἢ ἐν δυοῖν. Σωκράτης καὶ Πλάτων φιλοσοφεῖ.

Τοῦτο δὲ ἤτοι φύσει, ἢ σχήματι. φύσει μὲν ἐὰν τὸ ῥῆμα προτάττηται, ἢ μετὰ συλλαβεῖ ἑνικῶς. οἷον φιλοσοφεῖ

ἕτερόν τι ὁλοενεργητικόν. ἐν τοῖς οὐδετέροις. οἷον τὸ ἀναβαίνω. καὶ τρίτον αὐτοῦ οὐδέτερον. οἷον τὸ πλουτῶ, ὥσπερ αὖ πάλιν καὶ ὁλοπαθές ἕτερόν τι τῷ αὐτοενεργητικῷ ἀντιδιαιρούμενον κατὰ γνώμης τὸ ἐπίμεσον, ἢ ἐπίκοινον. καλῶ γὰρ ἐπίμεσον καὶ ἐπίκοινον, τὸ παθητικὴν μὲν ἀεὶ ἔχον φωνὴν, σημασίαν δὲ. τῇ μὲν ἐνεργητικὴν. οἷον μάχομαι. τῇ δὲ παθητικὴν. οἷον γίγνομαι.

Ἔτι τε τῶν οὐδετέρων. τὸ μὲν, ὑπαρκτικόν. τὸ δὲ, οὔ. καὶ τὸ μὲν, τέλειον. τὸ δὲ ἀτελές. Ἔστι δὲ καὶ τὸ ἀπὸ προσώπου τὸ μὲν, ὡς ἐνεργητικόν. οἷον προσήκει. τὸ δὲ ὡς παθητικόν, οἷον λέγεται. Συμπάντων δὲ τῶν ῥημάτων τὰ μὲν, κατ' εἰσπομπὴν θεωρεῖται ἔξωθέν τι λαμβάνοντα. τὰ δὲ κατὰ ἐκπομπὴν οἴκοθεν προσβάλλοντά τι. τὰ δὲ κατὰ περιποίησίν τε, καὶ ὑπουργίαν. καὶ τὰ μὲν ἀμεταβάτως. τὰ δὲ μεταβατικῶς καὶ τὰ μὲν τελείως. τὰ δὲ ἀτελῶς. Σύνταξις δὲ τῶν ἐνεργητικῶν. ὥστε τὴν ἐνέργειαν ἐπί τι διαβιβάζεσθαι ὑποκείμενον. οἷον τέμνω τὸν λίθον. καὶ ἰατρεύω τὸν νοσοῦντα. οἷς δὴ καὶ τὸ παθητικὸν ἐκ προϋφισταμένης. διαθέσεως ἐνεργητικῆς ἐπιφέρεται. ἰατρεύεται ὁ νοσῶν τέμνεται ὁ λίθος.

οὐδετέρων.

Οὐκ ἔτι δὲ καὶ τὰ οὐδέτερα ὁμοίως τοῖς ἐνεργητικοῖς. τὸ γὰρ ὑπάρχω. καὶ ζῶ. καὶ φρονῶ, καὶ πλουτῶ. καὶ ὑγιαίνω. καὶ τῶν τοιούτων, ἡ παθητικὴ διάθεσις κεχωρισμένη ἐστίν. ἐπεὶ οὐ διὰ τῆς ὁριστικῆς τούτων ἐγκλίσεως ἐνεργοῦντα, ἀλλὰ καὶ

εὐθεῖα συμπίπτῃ, οὐδετέραν εἰς ἔλεγχον τοῦ σχήματος ἔστι λαμβάνειν, ὡς εἴρηται.

Περὶ ῥήματος.

Τὸ δὲ ῥῆμα, ἔστι μὲν λόγου μέρος προσώπων τε διακριτικὸν καὶ χρόνων διαφόρων πρὸς σημαντικὸν κατὰ τὰ διαφόρους μετασχηματισμούς. τί δέ ἐστιν ὁ χρόνος πλέον ἂν εἴη, ἢ κατὰ γραμματικὴν θεωρῆσαί τε καὶ ὁρίσασθαι. λαβεῖν οὖν καὶ τὸν χρόνον ὡς ἐπὶ ἄλλα πολλὰ συγκεχυμένως χρῆναι φαμέν. ἀλλὰ μὴ περιεργάζεσθαι τὸν τῆς κινήσεως ἀριθμὸν κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. πλέον γάρ τοι οὐδὲν εἰς τὸ παρὸν ἢ τοῦ διωρισμένου γνῶσις ἡμῖν συμβαλεῖται. Διῃρημένου δ᾽ ἄρα τοῦ χρόνου εἰς ἕξ. ὁ μὲν ἐνεστὼς, τὸ ἐνιστάμενον σημαίνει καὶ ἀτελές. ὁ δὲ παρατατικὸς, τὸ παρατεταμένον καὶ ἀτελὲς τοῦ παρῳχημένου. ὁ δὲ μέλλων τὸ μήπω γεγονός. ὁ δὲ ἀόριστος, τὸ παρεληλυθὸς μὲν καὶ τέλειον, οὐχ ὡρισμένον δὲ τὰ περὶ τὴν ἐνέργειαν ἢ τὸ πάθος. ὁ δὲ παρακείμενος, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς τοῦ ἐνεστῶτος. ὁ δ᾽ ὑπερσυντέλικος, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς τοῦ παρακειμένου.

Διαίρεσις ῥήματος.

Διῄρηται δὲ τοῦ ῥήματος καὶ τῶν πλέον ὧδε. τὸ μὲν γάρ τοι προσωπικόν. οἷον λέγω. τὸ δ᾽ ἀπρόσωπον. οἷον χρή. προσωπικοῦ δ᾽ αὖ τὸ μὲν, ἐνεργητικόν. τὸ δὲ, παθητικόν. τὸ δὲ οὐδέτερον. οἷον ζῶ. καὶ τὸ μὲν, μέσον. οἷον βιάζομαι. τὸ δὲ, αὐτοενεργητικὸν μάχομαι. τὸ δὲ αὐτοπαθητικὸν, πάσχω. καλείσθω δὲ, καὶ

Γενική.

Τῶν δὲ τεσσάρων πλαγίων. Ἡ μὲν γενικὴ γενεαλογίαις καὶ κτηματολογίαις συντέτακται. παῖδα γὰρ Σωκράτους εἶπ φαμὲν, καὶ οἶκον Ἀριστοτέλους. ὅθεν εἴτις καὶ κτητικὴν ταύτην καλεῖ οὐκ ἂν ἁμαρτάνοι.

Δοτική.

Ἡ δὲ δοτικὴ τὴν τοῦ διδόναι, καὶ χαρίζεσθαι καὶ ἐπιστέλλειν, καὶ καθόλου, τὴν τοῦ περιποιεῖσθαι εἴληχε τάξιν. γλαῦκος Διομήδει ὅπλα ἐδεδίκει χρυσᾶ φέρεκλος Ἀλεξάνδρῳ ἐναυπήγει.

Αἰτιατική.

Ἡ δ' αἰτιατικὴ, αἰτιολογοῦσι μάλιστα ἥκει εἰς χρῆσιν. οἷον Σωκράτης ἀξιοῖ ἐπαινεῖσθαι διὰ ἀρετήν.

Κλητική.

Ἡ δὲ κλητικὴ, ἐπὶ τὸ καλεῖν τινα καὶ ἐπιστρέφειν, ἀμεταβάτως τοῖς δευτέροις τῶν ῥημάτων προσώποις συντασσομένη, δεῦρ' ἄγ' ἰὰν πολύαιν' ὀδυσσεῦ μέγα κῦδος ἀχαιῶν.

Ἀνθυπαλλαγή.

Ἀναμερισθέντων δὴ τῶν ὀνομάτων εἰς τὰς πέντε πτώσεις, τὰς ἀνθυπαλλαγὰς τῶν πτώσεων, ἢ παραδεχόμεθα ὡς σχήματα ἄττα διαλέκτου τινὸς συνηθέστερον τὸ τοιοῦτο ἐνδειξαμένης, ἢ ἀπαραδέκτους ποιούμεθα ὡς ἀκαταλλήλους. ἀττικῶν μὲν γὰρ τὸ τὴν εὐθεῖαν λαμβάνειν ἀντὶ κλητικῆς. μακεδονικὸν δὲ ἢ θεσσαλικὸν τὸ ἀνάπαλιν, αὐτὰρ ὁ αὖτε Θυέστ' ἀγαμέμνονι λεῖπε φορῆναι, πολλῇσι νήσοισι καὶ ἄργεϊ παντὶ ἀνάσσειν. ἔνθα γε μὴν ἡ κλητικὴ καὶ

ἀλλὰ πρὸς ἕτερον λεγομένων τὸ, ἢ εἰς γενικὴν, ἢ εἰς δοτικὴν, ἢ εἰς αἰτιατικὴν, ἢ εἰς ἀπαρέμφατον. τετραχῶς ὄν. ὧδε δὲ, τὰ μὲν συγκριτικὰ καὶ ὑπερθετικὰ πάντα εἰς γενικὴν, διαφέρει δὲ τῷ ὁμοιογενεῖ τε καὶ ἑτερογενεῖ. καὶ τῷ ἀριθμῷ ὡς εἴρηται. καὶ ἡ δὴ τὸ μὲν ὑπερθετικὸν, καὶ χωρὶς γενικῆς. τὸ δὲ συγκριτικὸν, οὔ. Ἔτι τε τὰ διαφορικὰ εἰς γενικήν. οἷον τὸ ἕτερον καὶ διάφορον. καὶ ἄλλο. καὶ τῶν πρός τι τὰ καθ' ὑπεροχὴν καὶ ὑποταγήν. Καὶ τὰ στερητικά. πένης. ὀρφανός. ἐνδεής. Καὶ τὰ πληρωματικά. πλούσιος. εὔπορος. πλήρης. Καὶ τὰ ὡς κτητικὰ θεωρούμενα ὅλως. Τὰ δ' ἐξ ἴσου τῶν πρός τι εἰς δοτικήν. φίλος. γείτων. ἴσος. ὅμοιος. Εἰς αἰτιατικὴν δὲ καὶ ἀπαρέμφατον τά τε κυρίως ἐπίθετα, καὶ τὰ ἀναφορικά. οἷος, καλὸς τὸ εἶδος. καὶ καλὸς ἰδεῖν. καὶ οἷος, εἰπεῖν, καὶ ἀκοῦσαι. καὶ νομοθετοῦντες ὃν λέγομεν, ἢ παραθετικῶς, ἢ διαφορικῶς, ἢ καθ' ὑπεροχὴν καὶ ὑποταγήν. καὶ ἰσότητα τῶν πρός τι, ἢ συνεκδοχικῶς. σύνταξις μὲν τοίνυν τῶν ὀνομάτων τοιαύτη πρὸς ἄλληλα.

Περὶ πτώσεως.

Πτῶσις δὲ, μεταβολὴ μὲν εἴη αὐτῆς ὀνόματος, ἢ ὀνομαστικοῦ τοῦ κατὰ τὸ τέλος. πέντε δὲ ἀριθμουμένων πτώσεων, ἡ πρώτη καὶ ὀρθὴ καταχρηστικώτερον λέγεται πτῶσις. τοῦτο γάρ τοι ὀρθὸν εἶναι καὶ πεπτωκὸς ἅμα οὐχ οἷόν τε. ὀνομάζεται δ' ἡ αὐτὴ καὶ εὐθεῖα καὶ ὀνομαστική. ἁρμόζει τε τῷ ὀρθῷ καὶ ἀποφαντικῷ λόγῳ.

προσώπων καὶ πρᾶγμα. εἰ μὲν γὰρ λέγοι τις ὅδε μοι γνωριμώτερος, ἢ σύ, τρία τὰ πρόσωπα. εἰ δὲ ὅδε ἐμοῦ ἰσχυρότερος, δύο μὲν τὰ πρόσωπα. ἓν δὲ τὸ πρᾶγμα ἡ ἰσχύς. ὥστε καὶ καλεῖσθαι τὸ μὲν τῆς συγκριτικῆς συντάξεως, προσωπικόν. τὸ δὲ πραγματικὸν διὰ ταῦτα.

Υποκοριστικά.

Τὰ δὲ ὑποκοριστικά, ἀπόλυτον ἔχει τὸ σχῆμα καὶ σημαινόμενον μείωσιν ἀσυγκρίτως δηλοῦντα τοῦ πρωτοτύπου. σύνταξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις καὶ προσηγορικοῖς πρὸς τὰ ἐπίθετα ἔχει. ὁμοιογενῶς γὰρ καὶ ὁμοιοπτώτως.

Παρώνυμα καὶ ῥηματικά.

Τὰ δὲ παρωνύμων καὶ ῥηματικῶν ἰδία ὀνομασθέντων, ὡς ἀπὸ ὀνόματος, ἢ ῥήματος ἐσχηματισμένων, ὅσα μὲν ἐστὶ κύρια, ἢ προσηγορικά, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα συντασσόμενα ἔχει ὡς εἴρηται. ὅσα δὲ ἐπίθετα, δῆλον ὡς ταύτῃ καὶ τὴν ἐπιθετικὴν λαμβάνει ἂν σύνταξιν πρὸς τὰ κύριά τε καὶ προσηγορικά.

Ετι περὶ τῆς τῶν ὀνομάτων συντάξεως συνοπτικώτερον.

Ειη δ' ἂν καὶ εἰς τρία διελόντα τὸ ὄνομα. κύριον τε προσηγορικὸν καὶ ἐπίθετον, περὶ τῆς κατ' αὐτὸ συντάξεως θεωρεῖν. πάντα γὰρ τ' ἄλλα συντάσσοιτ' ἂν ἐπιθετικῶς τοῖς ὡς κυρίοις, ἢ προσηγορικοῖς ὑποτιθεμένοις. καὶ κοινὸν μὲν ἂν εἴη τὸ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως συμφέρεσθαι τοῖς κυρίοις καὶ προσηγορικοῖς. ἴδιον δὲ τῶν μὴ ἀπολύτως;

πλώσεως ἧς καὶ τὸ συγκριτικὸν ἦν. ἐπαγομένης συντάσσεται. οἷον, ἀρείοσιν ἠέ περ ὑμῖν ἀνδράσιν ὡμίλησα. καὶ ἔτι μετὰ τοῦ ἤ, τῆς κατὰ, σὺν αἰτιατικῇ προσκειμένης. πλέον ἢ κατὰ ἄνθρωπον. καὶ μετὰ τοῦ ὡς, ἔσθ' ὅτε. οἷον ὡς κατὰ ἄνθρωπον. καὶ μὴν καὶ πρὸς ἀπαρέμφατον λέγεται μεσοσυλλαβοῦντος ὅτε μὲν τοῦ ἤ, καὶ ἅμα τοῦ ὥς τε ἀποστακτικοῦ, ὅτε δὲ ἢ τοῦ ἤ, μόνου. οἷον τὸ νόσημα μεῖζον, ἢ φέρειν. καὶ ἢ ὥς τε δύνασθαι φέρειν. τὸ δ' ὑπερθετικὸν οὐδὲν τούτων προσλαμβάνειν ἐθέλει. Ἔτι τὰ μὲν ὑπερθετικὰ. μεγίστην ἐπίτασιν ἔχοντα, οὐδὲν τῶν ἐπιτατικῶν δέχεται ἐπιρρημάτων. οἷον λίαν. ἢ μάλιστα. ἢ τοιοῦτό τι. τὰ δὲ συγκριτικὰ, ἅτε μὴ τὴν τελεωτάτην ἐπίτασιν ἔχοντα, ἔσθ' ὅτε δευτέραν ἐπιρρηματικὴν προσλαμβάνει ἐπίτασιν. οἷον, τὸ Ὁμήρου. πολὺ παυρότεροι καὶ ῥηΐτεροι δὴ μᾶλλον ἔσεσθε. Ἔτι τὸ ὑπερθετικὸν ἔστι, ὅτε καὶ πρὸς οὐδεμίαν ἐκδίδοται γενικήν. οἷον ἕσπερος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ. τὸ γοῦν ἀστήρ, ἀντὶ τοῦ ἀστέρων κατὰ μετάληψιν. Ἔστι δ' ἃ καὶ ἀπολύτως λεγόμενα ὑπερθετικῆς τυγχάνει συντάξεως, διὰ ὑπεροχὴν ἐνυπάρχουσαν σφίσιν. οἷον, τὸ δῖα. καὶ ἔξοχος. καὶ κορυφαῖος. καὶ μόνος. δῖα γὰρ θεάων. καὶ μόνος ἁπάντων. καὶ κορυφαῖος καὶ ἔξοχος πάντων. Ἀνάπαλιν δ' ἐνίοτε τοῖς συγκριτικοῖς, ἀντὶ ἁπλῶν θετικῶν ἔστι χρῆσθαι. καίτοι καὶ τοῦ θετικοῦ μετριώτερον βούλεσθαι ὁ λέγων δοκεῖ.

Ὡς μὲν οὖν ὅλως εἰπεῖν, ἡ σύγκρισις τῶν δυοῖν. ἐμφαίνεταί γε μὴν ἤτοι πρόσωπα μόνον, ἢ μετὰ τῶν

Τὰ δὲ συγκριτικά τε καὶ ὑπερθετικὰ κοινῇ μὲν πρὸς τὰ ὑποκείμενα προσηγορικά τε καὶ κύρια ὧν κατηγορεῖται, συντάσσεται ὡς τὰ ἐπίθετα ὁμοιογενῶς. καὶ ὁμοιοπτώτως. πρὸς ἃ δὲ ἔχει τὴν σύγκρισιν γενικὴν ἀπαιτεῖ. ἀχιλλεὺς ἰσχυρότερος Αἴαντος καὶ ἰσχυρότατος ἑλλήνων.

Διαφέρει δὲ ᾗ τὰ μὲν, οὐ μόνον ἑνικοῦ, ἀλλὰ καὶ πληθυντικοῦ εἴληχε γενικήν. τὰ δ' ὑπερθετικά, πληθυντικοῦ μόνον. συγκριτικὸν μὲν γὰρ τὸ κατ' ἐπίτασιν, ἢ πρὸς ἓν λαμβανόμενον, ἢ πρὸς πλείω. Σωκράτης Μελίσσου σοφώτερος, καὶ ἑτέρων ἐνδόξων. Ὑπερθετικὸν δὲ τὸ κατ' ἐπίτασιν πρὸς πλείω ἀεί. Σωκράτης ἑλλήνων σοφώτατος. τὸ δὲ ἄριστα ἑαυτοῦ διαλεχθῆναί τινα, λέγεται μὲν, οὐ πρὸς τὸ πρόσωπον δὲ οὗ ἡ γενική, ἡ παράθεσις. ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ διαλέξεις. ὅλως οὖν. ἀλλ' ἄττα ἀεὶ τὴν περὶ τὸ πρόσωπον θεωρητέον. ἐν γὰρ τοῖς τοιούτοις τὸ ὑπερθετικόν. ὡς ἂν εἰ λέγοι τις ἄριστα τῶν ἄλλων ἑαυτοῦ διαλέξεων. Καὶ τὰ μὲν, οὐ μόνον πρὸς ὁμοφυὲς, ἢ ὁμότεχνον, ἢ συγγενές. ἀλλὰ καὶ πρὸς ἑτερογενές. Διονύσιος εὐφυέστερος Δίωνος. Ομηρος. Ορφέως σοφώτερος. Δημοσθένης αἰσχίνου δεινότερος. Διομήδης ἥττων ἀχιλλέως. Αἴας ἰσχυρότερος τρώων. Τὰ δ' ὑπερθετικά, πρός τι τῶν ὁμοίων καὶ συγγενῶν ἀεί. Εκτωρ ἀνδρειότατος τρώων. τὸ δ' ὁμήρου πρώτιστος καὶ τρίτατος σχῆμα μόνον ὑπερθετικοῦ ἔχει. Καὶ τὰ μὲν συγκριτικά, καὶ τοῦ η, μεσοσυλλαβοῦντος, καὶ μετ' αὐτὸ

να μετουσιαστικὰ πρὸς τὰ κύρια καὶ προσηγορικὰ τὴν σύνταξιν καὶ αὐτὰ ἔχει ὡς τὰ ἐπίθετα. ξύλινος, πίναξ. ὀστράκινον σκεῦος. ὁμοιογενῆ ἔτι ἐστὶ καὶ ὁμοιόπτωτα τοῖς ὑποκειμένοις. οὕτω μὲν καὶ τὰ κατὰ σημασίαν εἴδη.

Πατρωνυμικά.

Τῶν δὲ κατὰ φωνὴν τὰ μὲν ἀπὸ πατρὸς καὶ προγόνων σχηματιζόμενα, καὶ πατρωνυμικὰ διαφόρως καλούμενα, κύριά τε δυνάμει ἐστί. ὅθεν δὴ καὶ σύνταξιν τὴν αὐτὴν τοῖς κυρίοις ἔχει πρὸς τὰ ἐπίθετα. οἷον πηλείδης γενναῖος. καὶ συντάσσεσθαι δὲ τοῖς πατρωνυμικοῖς ἔξεστι τὰ κύρια τῶν παίδων αὐτῶν ὀνόματα τοῦ σαφοῦς χάριν. ἔνθα κοινὸν πλείοσιν ἡ πατρωνυμία. οἷον ἀτρείδης Μενέλαος. Πριαμίδης. Εκτωρ.

Κτητικά.

Ομοίως δὲ καὶ τὰ ὑποπεπτωκότα τῇ κτήσει ὡσαύτως. ἐμπεριείληπται γὰρ τοῖς τοιούτοις τὸ κεκτημένον. ἀλλ᾽ ἀνάγκη προσυπακούεσθαί τι. εἰ γάρ τις λέγων ἀνθρώπινον, μὴ ἐπιφέροι σῶμα, ἢ τοιοῦτό τι, ἀτελὲς ἄν, τι φράζοι. δεῖ τοίνυν προσλαβεῖν τι τῶν κυρίων, ἢ προσηγορικῶν. συντάσσεται δὲ καὶ ταῦτα ὡς τὰ ἐπίθετα ὁμοιοπτώτως καὶ ὁμοιογενῶς τοῖς κυρίοις καὶ προσηγορικοῖς τήν τε σύνταξιν τοῦ ἄρθρου, ὁμοίως ἔχει τοῖς ἐπιθέτοις. ἡ ἰωνικὴ στολή. ἡ στολὴ ἡ ἰωνική. καὶ μεταλαμβάνονται τὸ ἰωνικὸν τῆς στολῆς. ἀνάλυσίς τε εἰς τὴν τοῦ πρωτοτύπου γενικήν. τελαμώνιος υἱός. Τελαμῶνος υἱός. τὸν ἐμὸν φίλον. τὸν φίλον μου. πλατωνικὴ δόξα. πλάτωνος δόξα.

χέτον λέγομεν. καὶ ἄμφω τρέχουσι. Καὶ μὲν δὴ καὶ περὶ ἅπασαν λέξιν ὑποθετικὴν ἀριθμοῦ χρώμεθα τῷ πληθυντικῷ πολλάκις. ὁ γὰρ εἷς λέγοι ἂν ἡμεῖς ἐγράφομεν. αὐάπαλιν γε μὴν ἑνικοῖς χρῆσθαι, ἢ δυϊκοῖς ἀντὶ πληθυντικῶν, φαῦλον. τὸ δ' Ομήρου, Μήπως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου, Ανδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε, σχῆμα ποιητικόν ἐστι καὶ τῷ πεζῷ λόγῳ ἄχρηστον, οὐ μὴν ἀλλ' οὐδὲ δυϊκῷ πρὸς ἑνικὸν χρώμεθα. δυάδος γάρ τοι σημαντικὸν ἀεὶ τὸ δυϊκόν.

Τὰ μὲν δὴ περιληπτικὰ ταῦτα προσηγορικὰ ὄντα. ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως σὺν αὐτοῖς τὰ ἐπίθετα σχηματίζει. ὁ δυστυχὴς δῆμος. ἡ δυσδαίμων πληθύς.

Επιμεριζόμενα.

Τῶν δὲ ἐπιμεριζομένων τετραχῶς σχηματιζομένων ἕτερον καὶ ἄλλο ἐπιδέχεται ἄρθρον· τὸ δ' ἑκάτερον καὶ ἕκαστον, οὔ. πάντα δέ τοι πρὸς γενικὴν, ἢ κτητικῶς. ἢ διαφορικῶς, οἷον ἕκαστον τῶν ζώων, ἕτερον τοῦ λίθου ὄν. ἐπιθετικῶς μέν τοι καὶ ταῦτα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συντάσσεται τοῖς κυρίοις καὶ προσηγορικοῖς.

Τακτικά.

Καὶ τὰ τακτικὰ δέ. οἷον τὰ σημαντικὰ τάξεως, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσεται. ὁ πρῶτος θεός. ἡ πρώτη οὐσία, τὸ πρῶτον εἶδος.

Μετουσιαστικά.

Τὰ δὲ μετέχοντα οὐσίας τινὸς, καὶ ταύτῃ καλούμε-

σέο φέρτερος εἴην. καὶ ἀλλ' ὅτι τόσοι ἦσαν ὅσοι ἑ-
λίκωπες ἀχαιοί. καὶ χωρὶς δὲ ἀναφορικοῦ λαμβά-
νεται τὰ ἀνταποδοτικὰ ἀπολύτως ἤτοι ἀποση-
ματικῶς, ἢ θαυμαστικῶς. τοίην κεφαλὴν ποθέω.
πολλῷ δὲ μᾶλλον τὰ ἀναφορικὰ, δίχα τῶν ἀντα-
ποδοτικῶν. συμφορῶν γὰρ πεπείραται. οἵων οὐ-
δεὶς φαμέν. καὶ σοφοῖς ἐνέτυχεν οἵοις οὐδείς. καὶ
πολέμους διήνυσεν ὅσους οὐδείς.

Περιληπτικά.

Τὰ δὲ περιληπτικὰ, οἷον, τὰ διὰ ἑνικοῦ ἀριθμοῦ πλῆ-
θος σημαίνοντα, ἑνικοῖς καὶ πληθυντικοῖς συντάσ-
σεται ῥήμασιν, ὁ δῆμος, εἶπεν. καὶ ὁ δῆμος εἶπον.
καί τοι τἄλλα πάντα τῶν ὀνομάτων ἑνικῶς μὲν
προφερόμενα ἑνικοῖς συντάσσεται ῥήμασι. δυϊ-
κῶς δὲ, δυϊκοῖς. πληθυντικῶς δὲ πληθυντικοῖς.
πλὴν τῶν ἀττικῶς συνταττομένων ἑνικοῖς οὐδετέ-
ρων πληθυντικῶν. ἀττικοὶ γὰρ τὰς πληθυντικὰς
τῶν οὐδετέρων ὀνομάτων εὐθείας ἑνικοῖς συντάττου-
σι ῥήμασι. παίζοι τὰ παιδία. Κἂν ᾖ δὲ ἅττα
τῷ μὲν σχηματισμῷ πληθυντικὰ, τῇ δὲ σημασίᾳ ἑνι-
κὰ, ἢ δυϊκὰ ταῦτα τῷ μὲν σημαινομένῳ ῥήμα-
σιν ἑνικοῖς, ἢ δυϊκοῖς, οὐ χρὴ συντάττειν. τῷ δὲ σχη-
ματισμῷ πληθυντικοῖς. ἀθῆναι φιλοσοφίᾳ διέ-
πρεπον. οὐ διέπρεπε. καὶ ἀμφότεροι γράφουσιν. οὐ
γράφετον. τὸ δ' ἄμφω καὶ δύο δυϊκῶς ὡς τῇ ση-
μασίᾳ, οὕτω, καὶ τῇ φωνῇ, δυϊκοῖς τε καὶ πληθυν-
τικοῖς συντάσσεται ῥήμασιν. τὸ μὲν, διὰ τὴν φυσι-
κὴν σημασίαν. τὸ δὲ, διὰ τὸ ἐμπεριέχεσθαι τῷ πλη-
θυντικῷ ἀριθμῷ τὸ ἓν καὶ τὰ δύω. ἄμφω οὖν πρέ-

Ἀόριστα.

Καὶ τὰ δηλοῦντα δὲ ὡρισμένως μὲν οὔ, καὶ διὰ τοῦτο ἀόριστα προσαγορευόμενα, οὐ συντάσσεται ἄρθροις ὅς τις. ὁ ποῖος. ὁ πότερος. τίς ἐγκλινόμενον δ' ἐν τούτοις ἀρκτικὸν ὁ, οὐκ ἄρθρον, ἀλλὰ λέξεως μέρος.

Ἀναφορικά.

Τὰ δὲ ἀναφορικά, καὶ αὐτὰ ὡς τὰ πευστικὰ καὶ ἀόριστα ἐπί τε ποσοῦ καὶ ποιοῦ λέγεται τοῖς τε κυρίοις καὶ προσηγορικοῖς συντάσσεται. ὁμοιωγενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμοιόσεως λέξεως ἕνεκα. Ἔστι δ' ὅτε καὶ θαυμαστικῶς προφερόμενα. καλεῖται δ' οὕτω διὰ τὸ τὴν διάνοιαν ἐπὶ τὸ ἀναφέρεσθαι τῶν προεγνωσμένων. συμβαίνει γὰρ τὸ τοιοῦτο ὅταν τις λέγῃ. τοιοῦτος ἦν ἀχιλλεύς, οἷος αἴας. Ταῦτα μὲν οὖν εἴη ἂν ἀναπολιτικά του τῶν προεγνωρισμένων, καὶ ὁμοιωματικά.

Δεικτικά. ἀνταποδοτικά.

Ἔστω δέ τοι ταυτὰ καὶ δεικτικὰ καὶ ἀνταποδοτικὰ ὀνομάζειν. ὅτι πολλάκις χρώμενοι τοῖς τοιούτοις δεικνύομεν ὁρῶντες τὶ ὅμοιον. καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδίδοται ἡγούμενα καὶ ἑπόμενα. Κυρίως δ' ἀνταποδοτικά. τὰ ἔχοντα τὸ τ, ἀρκτικόν. τοιοῦτος. τηλίκος. τόσος. ἃ δὴ καὶ τῷ δε, ἐπεκτείνεται. τοιός δε. καὶ ἄρθροις συντάσσεται. τά γε μὴν ἀπὸ φωνήεντος ἀρχόμενα, οὐ συντάσσεται ἄρθροις. οὐ γὰρ ὁ οἷος λέγομεν. οὐδὲ ὁ ὅσος. Ἡγεῖται μὲν δὴ ἀλλήλων ἐν τῇ συντάξει καὶ ὑποφέρεται ὡς εἴρηται. οἷον αὐτὸ ὅσον ἥσσων εἰμί, τόσον

Ως πρός τι.

Τὰ δὲ ὡς πρός τι, οἷον τὰ ἀμέσως ἀντικείμενα, διεζευγμένως ἀλλήλοις συντάσσεται. ἤτοι ἡμέρα ἐστὶν, ἢ νὺξ, ἢ φῶς, ἢ σκότος, ἢ ζωὴ, ἢ θάνατος, ἢ νόσος, ἢ ὑγίεια.

Πευστικά.

Τὰ δὲ πευστικὰ. οἷον τὰ ἀπόκρισιν ὡρισμένως ζητοῦντα, ἥκιστα ἄρθροις συντάσσεται ἐπ' ἐρωτήσει ἀρκτικῇ λόγου ὅτι τὸ μὲν πύσμα ἀγνοοῦντος. τὸ δ' ἄρθρον ἀναφέροντος τίς. ποῖος. πότερος. πόσος. πόσος. πηλίκος. ποδαπός. ποσαῖος. ἐπ' ἀντερωτήσει δὲ τοῦ εἰρημένου ἐπιφέρεται ἄρθρον ὥς ἐστιν ὅτε οἷον τὰ ποῖα λέγεις; τὸν τίνα λέγεις; καὶ ὁ τίς ἐρωτᾷς; συντάττεται δὲ τὰ ἐρωτηματικὰ, ταῦτα καὶ μάλιστα τὸ τίς, τῶν ῥημάτων τοῖς ὑπαρκτικοῖς τε καὶ κλητικοῖς, ἐπαγομένου τε ὀνόματος. καὶ εἰ αὐτωνυμία ἐκ τρίτου πρόσκειται. τίς ἐστιν οὗτος; ἢ τίς ὁ δὲ καλεῖται; ὅτι Σωκράτης. καὶ ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ. τίς οὗτος; εἴγε μὴν τὸ τίς τάττηται μόνον, παντὶ ῥήματι συντάττεσθαι δύναται ἂν εἴη. τίς βαδίζει; τίς διαλέγεται; καὶ εἰ μὲν ἀντωνυμία ἀποδοθείη, ἤκιστ' ἂν ἑτέρας ἐρωτήσεως δέοι. οἷον τίς γράφει; ἐγώ. εἰ δ' ὄνομα, ἔτι δεῖ ἐρωτήσεως ἑτέρας διὰ τὸ τοῦ ὀνόματος ὁμώνυμον καὶ ἄλλως πολύσημον. τίς γράφει; Ησαΐας. τίς Ησαΐας; ὁ Νικολάου.

Διαπορητικῶς δὲ ἐρωτῶν, πρὸς ὑποτακτικὸν συντάξεται. πότερον σιωπῶ; τί λέγω; ὅλως τε ἡ ἐρώτησις, ὑποτακτικὸν τοῦ ῥήματος ἀπαιτεῖ. βούλει, εἴπω.

ἐπίθετα ἔχει. Συμπαρειλήφθω δὲ τούτοις καὶ τὰ ὁμώνυμα, ὧν ὄνομα μὲν κοινόν. ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας διάφορος. Καὶ τὰ συνώνυμα. ὧν τό, τε ὄνομα καὶ ὁ λόγος κοινόν. καὶ τὰ γένθους δηλωτικά. Καὶ τὰ περιεκτικά. οἷον τὰ ἅμα δηλοῦντα τὸ περιέχον καὶ τὸ περιεχόμενον. οἷον δαφνών. κοιτών. Καὶ τὰ μιμητικῶς πρὸς τὰς τῶν ἤχων ποιότητας πεποιημένα. Καὶ πρὸς τούτοις τὰ γένους, ἢ εἴδους σημαντικά. Καὶ τὰ ἀπολελυμένα. οἷον τὰ καθ' ἑαυτὰ νοούμενα. θεός. λόγος.

Περὶ δὲ τῶν λοιπῶν κατὰ σημασίαν εἰδῶν, ποίαν τινα σύνταξιν ἔχει, λέγωμεν.

Τὰ μὲν οὖν πρὸς ἕτερον ἀεὶ θεωρούμενα, καὶ διὰ τὴν τοιαύτην σχέσιν ὀνομαζόμενα πρός τι, καθ' ὑπεροχὴν μὲν ὄντα, ἢ καθ' ὑποταγήν, ἀπὸ εὐθείας εἰς γενικήν, τῶν πρὸς ἃ ἡ σχέσις ἀποδίδοται. οἷον πατὴρ ἐμοῦ. δοῦλος δεσπότου. διπλάσιον ὑποδιπλασίου. Ὡσαύτως δὲ καὶ κατὰ διαφορὰν λεγόμενα. οἷον ἄλλο. ἕτερον. διάφορον. καλείσθω δὲ διαφορικά. ἐξ ἴσου δὲ ὄντα, ἀπ' εὐθείας πρὸς δοτικήν. ὡς τὸ φίλος τῷ δεῖνι. καὶ ἴσος. καὶ γείτων. καὶ ὅμοιος. ἔτι ὁ αὐτός. καὶ ὁ ἐναντίος. καὶ ὅσα ἐκ τοῦ ὁμοῦ. ἢ τῆς συν, τυγχάνει συγκείμενα. οἷον ὁμούσιος. ὁμοφυής. σύμψηφος σύνεδρος. Τὸ δὲ πρὸς γενικὴν ταῦτα συντάσσεσθαι κτητικοῦ ἂν εἴη, οὐ τοῦ περὶ τὸ πρός τι ἐτύμου. ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ ὁμοίου καὶ ἴσου. καὶ τῶν τοιούτων. οἷον ὁμοιοσχήμων. ἰσοπαλής.

Ἐπίθετον.

Ἐπίθετον δὲ, τὸ κατὰ κυρίων, ἢ προσηγορικῶν λεγόμενον. οἷον ἀνδρεῖος. ταχύς.

Σύνταξις ἐπιθέτου.

Τοιοῦτο δ᾽ ὂν τὸ ἐπίθετον, οὐ μόνον ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως τοῖς κυρίοις καὶ προσηγορικοῖς πρόσκειται, ἀλλὰ καὶ πλαγίως συντάσσεται ὀνομάτων ἑτέρων αἰτιατικῇ. ἡ γὰρ τῆς δοτικῆς χρῆσις οὐ πάνυ τοι ἀκριβής. ὑγιεὶς οὖν τὸ σῶμα. καὶ λευκὸς τὴν τρίχα. καὶ πυῤῥὸς τοὺς ὀφθαλμούς.

Ἐνάρθρως.

Καὶ τὰ μὲν, ἐνάρθρως. τὰ δὲ ἀνάρθρως. ἐνάρθρως μὲν, ἔνθα ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ ἀποῦσα ὅμως ὑπονοεῖται. οἷον ὁ ἀγαθὸς σωκράτης φιλοσοφεῖ. τὸ γὰρ ἐντελὲς ἦν ὁ σωκράτης ὁ ὢν ἀγαθός. ὥς τε εἰ καὶ τὸ κύριόν γε προτάττοιτο, οὐδ᾽ οὕτως αὐτοῦ ἄρθρον τὸ ἐπίθετον λέγοιτ᾽ ἄν, ὁ σωκράτης γάρ τοι ὁ ἀγαθὸς φαμὲν ἑκατέρῳ τῶν ὀνομάτων ἄρθρων συνάπτοντες. οὕτω γὰρ συμβαίνειν ἀνάγκη προηγουμένου τοῦ κυρίου, ἢ προσηγορικοῦ.

Ἀνάρθρως δέ τοι προφέρεται, ἔνθα τὸ ὑπαρκτικὸν αὐτὸ ῥῆμα μόνον, ἢ λεγόμενον, ἢ νοούμενον. Σωκράτης ἀνὴρ ἀγαθός. Ἀριστοτέλης σοφός. ταῦτά γε μὴν καὶ εἰς ἔναρθρον γενικὴν πληθυντικοῦ μεταβάλλειν. οὐδὲν ἂν κωλύοι. Σωκράτης τῶν ἀγαθῶν ἦν. Ἀριστοτέλης τῶν σοφῶν.

Τὰ μὲν οὖν κύριά τε καὶ προσηγορικὰ ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως σφίσι τὰ

Τί τὸ εὖ συντάττειν.

Δεῖ δὲ καὶ εἴη ἂν τὸ εὖ συντάττειν, καταλλήλως ὑποπλέκειν πρὸς ἄλληλα τὰ τοῦ λόγου μέρη. ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει. καὶ τοὐναντίον τὸ σολοικίζειν. ἁμαρτία γὰρ περὶ σύνταξιν τε καὶ φράσιν ὁ σολοικισμός. τὸ δὲ ὀρθὸν ἐν τοῖς παρ' ἐνδοξοτέροις τῶν λογίων ὡς ἐπὶ τὸ πολὺ λεγομένοις. ἐκ τούτων γὰρ καὶ περὶ τούτων ἡ γραμματικὴ θεωρία καὶ μέθοδος.

Περὶ ὀνόματος.

Τῶν δὲ τοῦ λόγου μερῶν τὰ πρωτεῖα εἴληχε τοὔνομα καὶ ῥῆμα. τῶν μὲν γὰρ ἄλλων χωρὶς γίγνοιτ' ἂν λόγος τέλειος. αὐτῶν δὲ τουτωνὶ οὐκ ἂν γίγνοιτο, διαφερέτω δὲ μηδὲν ὄνομα λαβεῖν, ἢ ἀντωνυμίαν.

Ὅρος ὀνόματος.

Ἔστι δὲ τοὔνομα μέρος λόγου πτωτικὸν σημαντικὸν ἄνευ χρόνου. εἴδη δὲ τούτου τὰ μὲν, κατὰ φωνήν. τὰ δὲ, κατὰ σημασίαν. κατὰ μὲν φωνὴν πρωτότυπον καὶ παράγωγον. κατὰ δὲ σημασίαν, κύριον προσηγορικόν. ἐπίθετον. καὶ ὅσα εἴρηται πρότερον. διῄρηται δὲ καὶ τὰ τοῦ παραγώγου εἰς πατρωνυμικόν. κτητικόν. συγκριτικόν. ὑπερθετικόν. ὑποκοριστικόν. παρώνυμον. καὶ ῥηματικόν.

Κύριον.

Ἔστι δὲ κύριον τὸ τῆς πρώτης, καὶ κατὰ μέρος οὐσίας σημαντικόν. οἷον, Σωκράτης, Πλάτων.

Προσηγορικόν.

Προσηγορικὸν δὲ, τὸ τῆς δευτέρας καὶ καθόλου οὐσίας. οἷον ἄνθρωπος. ἵππος.

σαφὲς κἂν πρὸς θηλυκὸν τάσσηται. τὸ δὲ κλυτὸς καὶ ἄγριος οὔ. ὅθεν ἐναλλαγὴ τὸ κλυτὸς ἱπποδάμεια.

Μετοχή.

Ο μόλογον δὲ καὶ τὸ, τὸ γράφων συντάττεσθαι παρατατικῷ. ἢ δηλονότι συνέμπτωσιν παρατατικοῦ ἐπιλέγεται γράφων ἔχαιρον.

Απαρέμφατον.

Κ αὶ τὸ ἀπαρέμφατον δὲ γράφειν, μεταληφθὲν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ, κατάλληλον ἀποτελεῖ λόγον ἐν συντάξει τῶν τοιούτων ἐπιρρημάτων. συνέβη χθὲς γράφειν σωκράτη. συμβαίνει σήμερον γράφειν Σωκράτη.

Διάθεσις.

Δ ῆλον δέ ἐστι καὶ ἐπὶ διαθέσεως τὰ γὰρ καλούμενα μεσότητος ῥήματα συνέμπτωσιν ἀναδεχόμενα ἐνεργείας καὶ πάθους οὐδὲν παρὰ τὰς διαθέσεις ἁμαρτάνεται.

πρόσωπον.

Κ αὶ ἐπὶ συμπτώσεως δὲ προσώπου δῆλον ταυτό. τὸ γὰρ νικῶ, κατάλληλον μὲν ἐπὶ πρώτου ὁριστικοῦ καὶ τρίτου εὐκτικοῦ, ὡς ἔχει τὸ παρ᾽ ἀλκμᾶνι νικῷ δ᾽ ὁ κάρρων. ἀκατάλληλον δὲ ἐπὶ δευτέρου ὁριστικοῦ. ἢ τὸ δεύτερον νικᾷς. Τὸ μὲν οὖν κατάλληλόν τε καὶ μή, τῆς συντάξεως οὕτω πως ληπτέον. καὶ ὅτι τὸ μεταβατικὸν, καὶ ὅλως τὸ πρὸς ἕτερον τῶν μερῶν. πρὸς γὰρ τὰς διαφόρους τούτων δυνάμεις διάφορα, καὶ τὰ τῆς συντάξεως ὡς ἐν τοῖς καθ᾽ ἕκαστα ἔσται δῆλον.

νους. σὺ οὖν αὐτός. σὺ αὐτή. ἐγὼ αὐτός. ἐγὼ αὐτή.

Ῥήματα.

Ὁ αὐτὸς δὲ καὶ ἐπὶ τῶν ῥημάτων λόγος, αἳ γοῦν κυρίως ἐγκλίσεις εἰς πρόσωπα καὶ ἀριθμοὺς μερισθεῖσαι, τὸ ἀκατάλληλον συνελέγχουσι δι' ἀριθμῶν καὶ προσώπων. ἡ δ' ἀπαρέμφατος ἀμοιρήσασα τούτων, ὑπὸ πάντα πρόσωπα, καὶ ὑπὸ πάντας ἀριθμοὺς ὑποβάλλει. γράφειν ἐμέ. ὑμᾶς. σέ. ἡμᾶς. χρόνου γε μὴν καὶ διαθέσεως οὐκ ἀμοιροῦσα, παρὰ τὴν τούτων ἐναλλαγὴν τὸ ἀκατάλληλον ἐμφαίνει.

Μετοχαί.

Δῆλον τοίνυν τὸ τοιοῦτο καὶ ἐκ τῶν μετοχῶν. αἷς μετουσία γένους, καὶ πτώσεως, καὶ ἀριθμοῦ. οὐ μὴν δὲ καὶ προσωπικῆς διακρίσεως καὶ ψυχικοῦ τοῦ βουλήματος, δι' ὃ δὴ καὶ περὶ τὰ μὴ προσόντα ταῦτα. οὐδὲν φαῦλον συμβαίνει γράψας ἀνέστην, ἀνέστης, ἀνέστη. ἀνέστηθι, ἀνασταίην.

Ῥήματα.

Ἔτι τὸ ἔλεγον καὶ τὰ ὅμοια ἐνικὰ ὄντα διὰ τὸ συμπίπτειν τῷ τρίτῳ πληθυντικῷ καταλλήλως συντάσσεται τῷ πληθυντικῷ. ἔλεγον ἐκεῖνοι. ὑπεξαιρείσθω τὰ δωρικά. ἡ γὰρ ἐν αὐτοῖς καταβιβαζομένη ὀξεῖα, ἀφίστησι τὴν πρὸς τὸ ἐνικὸν σύμπτωσιν.

Ὀνόματα.

Ὁμόλογον δὲ καὶ τὸ τὰ συμπίπτοντα ἤτοι κατὰ γένος ἢ καθοτιοῦν ἀφίστασθαι τοῦ ἀκαταλλήλου. οἷον, σοφὸς ἡ θεός. καὶ ὅλως τὰ τριγενῆ. τὸ μὲν γὰρ θεός,

μοιροῦντα τοιαύτης, ἀκώλυτον ἔχει τὴν πασῶν τῶν ἐγκλίσεων τὴν σύνταξιν.

Κατὰ σύνδεσμον.

Καὶ οἱ σύνδεσμοι δὲ οὐδὲν τῶν εἰρημένων τεμνόμενοι, ἀδιαφόρως τὰς συνδέσεις ποιοῦνται πρὸς διάφορα γένη, ἢ πτώσεις, ἢ πρόσωπα. εἴγε μὴν καὶ ἐπ' αὐτῶν γίνεταί τις ἐν μέρει διαφορά. κἂν τὰ περὶ τὴν σύνταξιν σώζοιτο. οἷον, ὁ ἂν, ὅτι τὰ μὴ γεγονότα ἀναιρεῖν θέλει παριστᾶν αὐτὰ εἰς τὸ δυνατὸν, ὅθεν ἄρα. καὶ δυνητικὸς εἴρηται, διὰ τοῦτο παρῳχημένοις συντάσσεται, πλὴν τοῦ παρακειμένου. εἰ οὖν τις λέγοι γράψω ἂν, ἀκαταλλήλως συντάσσει.

Κατὰ ἀντωνυμίαν.

Ἔτι τῶν τῶν ἀντωνυμιῶν τὸ ἐμοὶ τῶν τρίτου οὐ τίθεται, ὡς διελεγχόμενον ἂν ὑπὸ τοῦ συζύγου τοῦ οἷ. δῆλον δ' ὅτι οὐδὲ τὸ οἷ τῶν πρώτου διὰ τὸν αὐτὸν λόγον. ἥγε μὴν αὐτὸς τρίτου οὖσα, καὶ πρώτῳ, καὶ δευτέρῳ συντάσσεται. ὅτι οὐδὲν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν ὑπάρχει, ὃ ἂν τὸ ἀλλότριον συνελέγξειεν. αὐτὸς οὖν ἐγώ. αὐτὸς σύ.

Εαυτοῦ.

Ὅλως γὰρ οὐδὲν συμβαίνει ἁμάρτημα περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένη μὴ ὄντα, γινόμενά γε μὴν ἔκ του ἀκόλουθα, οὐκ ἔτι παρὰ τὸ δέον συνηθήσεται. οἷον τὸ ἑαυτοῦ τῶν πρώτου ἐν κοινῇ. οὐ γὰρ ὑπὸ τοῦ ἐμαυτοῦ διελέγξεται. τὸ ἑαυτὸν δ' ἴσως. ἔστι γὰρ καὶ τὸ ἐμαυτὸν, ὅτε μὴν τὸ σὺ ἢ ἐγὼ τῶν διαφόρων γενῶν φαύλως. οὐ γάρ τοι διακριτικὸν γέ-

τύπτους γυνὴ ὕβρισεν.

Κατὰ πρόσωπον.

Καὶ ἐπὶ προσώπου. ἐκεῖνος πατὴρ ὢν ἐπιμελήσεται τοῦ παιδός. ἀλλὰ δὴ καὶ σοῦ καὶ ἐμοῦ. εἴπερ οὖν μὴ ὑποσυμβαίνει τῇ λέξει τὴν διάκρισιν δυνάμενον φανερῶς ποιεῖσθαι, ἀδιαφορήσει τὸ ὑποπλέκεσθαι διαφόροις τῷ γένει, ἢ τῇ πτώσει, ἢ τῷ ἀριθμῷ, ἢ τῷ προσώπῳ, ἢ τοιούτῳ τινί. ἀνέλεγκτα γὰρ οὕτω τὰ τοῦ μετασχηματισμοῦ γίνεται. καλῶς γράφω, γράφεις, ἔγραψα. δῆλον γὰρ ὅτι κατάλληλος πάντη ἡ σύνταξις. ἡ γὰρ τοῦ ἐπιρρήματος σύνοδος μὴ οὖσα δεικτικὴ ἀριθμῶν, ἢ προσώπων, ἢ πτώσεων, ἢ χρόνων, ὧν παραδέχεται τὸ ῥῆμα, ἀκώλυτον τὴν ἐπιπλοκὴν ἔχει καὶ ἥκιστα ἔκτου ἐλεγχομένην ὁμοφδοῦς. οὐκ ἔτι δὲ ταυτὸ συμβαίνει καὶ ἐπὶ τοῦ καλός. προσώπου γὰρ τρίτου ἀριθμοῦ ἑνικοῦ τουτί. ὅθεν καὶ πρὸς ἑνικὸν τὸ γράφει ἡ σύνταξις. καλὸς γράφει, καὶ αὖ πάλιν ἐπεὶ τὸ καλὸς οὐ παρέμφασιν χρόνου σημαίνει, ἀδιαφορεῖ χρόνοις συνταττόμενον διαφόροις. καλὸς γράφει. ἔγραψε. γράψει.

Κατὰ ἐπίρρημα.

Ἔτι τῶν ἐπιρρημάτων τὰ εἰς διαφόρους ἀναμεριζόμενα χρόνους, προσώποις μὲν διαφόροις καὶ ἀριθμοῖς συντάσσεται. χρόνοις δ' οὔ. κατέβην χθές. κατέβης. κατέβη. καταβαίνει δὲ ἢ καταβήσομαι οὔ. Ὡσαύτως δὲ καὶ ὅσα σημαινόμενον ὑποδέχεται ἐγκλίσεως. οἷον, εἴθε ἄγε. ἡ γὰρ προστακτικὴ ἀνεπίπλοκος τῇ εὐκτικῇ. τἄλλα δὲ σημασίας

τα εἰς τὴν ὑπερβάλλουσαν θέσιν, ἐλέγχουσιν διὰ τῆς παρ᾽ ἑαυτῶν ἀκολουθίας. Τῶν τοίνυν τοῦ λόγου μερῶν, ἃ μὲν εἰς ἀριθμοὺς καὶ γένη καὶ πτώσεις μετασχηματιζόμενα, ἃ δὲ εἰς πρόσωπα καὶ ἀριθμοὺς, ἃ δὲ μηδὲν ὑποδεχόμενα τοιοῦτον, ἀλλὰ καθ᾽ ἕνα μόνον σχηματισμὸν ἐκφερόμενα, ταῦτα δὴ μεταληφθέντα ἐξ ἰδίων μετασχηματισμῶν εἰς τὰς δεούσας ἀκολουθίας ἀριθμῶν, ἢ προσώπων, ἢ γενῶν, τῇ τοῦ λόγου συντάξει, ἀναμεμέρισται εἰς ὑποπλοκὴν τοῦ πρὸς ὃ φέρεσθαι ἕκαστον δεῖ. οἷον, εἰ οὕτω τύχοι πληθυντικὸν πρὸς πληθυντικὸν κατὰ τὴν τοῦ αὐτοῦ προσώπου παρέμπτωσιν. γράφομεν ἡμεῖς. μανθάνουσιν ἄνθρωποι. τὸ γὰρ ἐν μεταβάσει τοῦ προσώπου οὐ πάντως ἀπαιτήσει τὸν αὐτὸν ἀριθμόν. ἔστι γὰρ φάναι καὶ τύπτουσι τὸν ἄνθρωπον, καὶ τύπτουσι τοὺς ἀνθρώπους.

Κατὰ πτῶσιν.

Ο αὐτὸς δὲ λόγος κἀπὶ τῶν κατὰ γένος, ἢ πτῶσιν, ἢ πρόσωπον λαμβανομένων. ἔτι γὰρ καὶ τὸ ἐν μεταβάσει διαφορεῖ. ἡμῶν αὐτὸς ἀκροᾶται. ἡμῶν αὐτοὶ ἀκροῶνται. καὶ ὅν εἰ συνέλθῃ κατὰ τὴν αὐτὴν πτῶσιν ὑποπεσεῖται εἰς τὸ αὐτὸ πρόσωπον. ἡμῶν αὐτῶν ἀκροῶνται. εἰ μὴ παρέμπτωσις συνδεσμικὴ τὸ πρόσωπον διαστήσει. ἡμῶν καὶ αὐτῶν ἀκροῶνται.

Κατὰ γένος.

Ω σαύτως δὲ κἀπὶ τῶν γενῶν. οὗτοι οἱ ἄνδρες τούτους τοὺς ἄνδρας. πάλιν γὰρ τὸ ἐν μεταβάσει τοῦ προσώπου διαφορήσει καὶ κατὰ γένος. καὶ κατὰ ἀριθμόν.

ἀντὶ τοῦ ἄξω. Περὶ ἐπιρρήματα δὲ σολοικισμὸς διὰ ἀναλλαγῆς. εἴσω δέ ποτ' ἐκόσμη, ἀντὶ τοῦ ἐντός. καὶ ἐγγύθεν ἱσταμένη, ἀντὶ τοῦ ἐγγύς.

Περὶ δὲ προθέσεις, εἰς ἀγαμέμνονα δῖον, ἀντὶ τοῦ πρὸς ἀγαμέμνονα. καὶ ὑπὸ ἴλιον ἦλθον, ἀντὶ τοῦ ἐπὶ ἴλιον.

Περὶ δὲ συνδέσμους, αὐτὸς μὲν ἐγὼ μένω, ἀλλ' ἑταῖρον πέμπω, ἀντὶ τοῦ ἑταῖρον δὲ, καὶ κρατερόν δ' ἐπὶ μῦθον ἔτελλεν, ἀντὶ τοῦ κρατερὸν γάρ.

Μετάθεσις.

Σολοικισμὸς δ' ἐκ μεταθέσεως. ὡς τὸ μικαὺ δὲ οὐ. θυγάτριον ἡ νῦν ἡμέρα δήλωσί μοι. ἢ δόξαν. ἤτοι διαβολήν. οὐ γάρ τοι ὀρθῶς ἔχον, ἤτοι δόξαν, ἢ διαβολήν. ταῦτά γε μὴν πάντα εἰ καὶ τοῖς ποιηταῖς σχήματ' ἄττα ἐστί, ἡμῖν μέν τοι ὡς ὑποδείγματα κείσθω τοῦ περὶ τὸν πεζὸν λόγον σολοικισμοῦ.

Ἐπεὶ δὲ περὶ λόγου συντάξεως καταλλήλου θεωροῦμεν, περὶ αὐτοῦ πρότερον τοῦ καταλλήλου ῥητέον κοινῇ. εἶτα περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ θεωρητέον τὸ ὀρθόν τε καὶ μή. Ἔστι μὲν οὖν οὐκ ἐν τοῖς ὑποκειμένοις τὸ ἀκατάλληλον καὶ μή, ἀλλ' ἐν τῇ συντάξει τῶν λέξεων, αἷς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον. εἰ οὖν ὑπούσης θηλείας λέγοι τις, αὗτη με ἔτυψαν, σολοικίζει διὰ τὸ ἀκατάλληλον τῶν λέξεων, κἂν ἀληθεύῃ τῷ νῷ. εἰ μέν τοι. οὗτος με ἔτυψεν, οὐδὲν ἁμαρτάνει. ἔχει γὰρ τὸ τοῦ καταλλήλου δέον ὁ λόγος. ὥς τε αἱ λέξεις ἀναμεμερισμέναι. εἰς θέσεις ἰδίας, τὰ ὁπωσοῦν παρεμπίπτον

νῖκος τῷ ι, δέον τῇ ει. περὶ ὧν ἄρα καὶ εἴρηται πρότερον τὸ ὀρθόν.

Σολοικισμός.

Ὁμοίως δέ τοι καὶ ὁ σολοικισμός. ἢ γὰρ ἐνδείᾳ. ὄρχοιτο πεδίοιο. ἐνδεῖ γὰρ ἡ διά. Ἢ πλεονασμῷ. ἐξ οὐρανόθεν. πλεονάζει γὰρ ἡ ἐξ.

Ἢ ἐναλλαγῇ. τόξων εὖ εἰδώς. ἀντὶ τοῦ τοξεύειν. νέον δ᾽ ἐσαγείρατο θυμόν, ἀντὶ τοῦ νεωστί. ἀκτίνεσσιν ἐοικότες, ἀντὶ τοῦ ἐοίκασιν. τῷ τοι προφρονέως ἐρέω, ἀντὶ τοῦ διό. εἴσω ἁλὸς εὐρέα κόλπον, ἀντὶ τοῦ εἰς εὐρέα κόλπον. τοιοῦτο δὲ καὶ τὸ τὰ παρεπόμενα τοῖς τοῦ λόγου μέρεσιν. οἷον. εἶδος. γένος. ἀριθμόν. σχῆμα. πτῶσιν, ἢ ἐπιρρήματα. ἢ προθέσεις. ἢ τάξιν συνδέσμων, καὶ συνδέσμους αὐτοὺς ἐναλλάσσειν.

Εἶδος.

Εἶδος μὲν διὰ γυναικῶν ἐπὶ μελάντερον ἠΰτε πίσσα. Γένος δέ, ἀλλ᾽ ἣ θῆλυς ἐοῦσα. καὶ οὐκ ἂν ἐφ᾽ ἡμετέρων ὀχέων πληγέντε, ἀντὶ τοῦ πληγεῖσαι. Ἀριθμὸν δέ, θεράπαιναν γραΐαντε, ἀντὶ τοῦ θεράπαιναι. Σχῆμα δέ, αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι. ἀντὶ τοῦ ἐμαυτόν. Πτῶσιν δέ, νεστορίδα δ᾽ ὁ μὲν οὔτασεν, ἀντὶ τοῦ νεστορίδην. καὶ ἀστράπτων ἐπιδέξια, ἀντὶ τοῦ ἀστράπτοντα. καὶ δοιοὺς δ᾽ ἄρ᾽ ὑπήλυθε θάμνους ἐξομόθεν πεφυῶτας. ὁ μὲν φυλίης. ὁ δ᾽ ἐλαίης. Διάθεσιν δέ, ὁρῶμαι, ἀντὶ τοῦ ὁρῶ. Πρόσωπον δέ, ὅσοι θεοί εἰσ᾽ ἐν ὀλύμπῳ σοί τ᾽ ἐπιπείθονται καὶ δεδμήμεσθα. καὶ σφέτερον πατέρ᾽ ὑμνείουσαι, ἀντὶ τοῦ ὑμέτερον. Χρόνον δέ, ἐγὼ δέ κ᾽ ἄγω Βρισηΐδα

αὐτωνυμιῶν ἔσθ᾽ ὅτε. τὰς δὲ, οὐκ ἔστιν αὐτὸν ἑτέρου τοῦ, προσενεχθεῖσαι κατὰ διάνοιαν ἐντελῆ. οἷον προθέσεις τέ καὶ συνδέσμους. αἱ γὰρ τοιαῦται λέξεις ἀεὶ συσσημαίνουσι προσκείμεναι δηλονότι ἑτέροις. ὅθεν δὴ αἱ σημασίαι τούτων μεταπίπτουσιν πρὸς τὴν τῶν συναπτομένων αὐτοῖς δύναμιν δηλονότι. οἷον ἡ μετὰ ἕτερον μὲν τῇ αἰτιατικῇ συναπτομένη, ἕτερον δὲ τῇ γενικῇ. καὶ σὺν τοῖς ῥήμασιν ὁμοίως καὶ τοῖς συνδέσμοις ἡ μὲν οὖν ἀλλήλοις ὁμοία στοιχεῖον καὶ συλλαβὴ καὶ λέξις καὶ λόγος. εἰρήσθω περὶ τοσοῦτον.

Ἀνάλογον.

Κοινὸν δ᾽ ἀνάλογον λέξεως καὶ λόγου, τὸ τὸν μὲν λόγον παρὰ τὴν ποιὰν τῶν λέξεων σύνθεσιν ὀρθῶς ἔχειν καὶ μή. τὴν δὲ λέξιν παρὰ τὴν τῶν συλλαβῶν καὶ στοιχείων. ὅ, τε γὰρ βαρβαρισμὸς ἁμάρτημα περὶ λέξιν ἐστίν. ὅ, τε σολοικισμὸς, ἁμάρτημα περὶ λόγον.

Βαρβαρισμὸς.

Καὶ τετραχῶς μὲν ὁ βαρβαρισμὸς, τοσαυταχῶς δὲ καὶ ὁ σολοικισμὸς, ἢ γὰρ ἐνδείᾳ βαρβαρίζων τις ἐλέγχεται. δημοσθένους, δημοσθένου. γεγράφασιν, γέγραφαν. Η πλεονασμῷ. αἰσχίνου, αἰσχίνους. κοιμᾶ, κοιμᾶσαι. τοῦτο δὲ καὶ τὸ διαιρούμενον φαύλως. κοῖλον, κόϊλον.

Η μεταθέσει. κρόταφον, κόρταφον. δίφρον, δρίφον. Η ἐναλλαγῇ. φιάλη, φιέλη. ὕαλον, ὕελον. αἰνείου, αἰνεία. Καὶ περὶ προσῳδίαν. φίλος, φιλός. μισθωτὸς μίσθωτος. Καὶ περὶ χρόνον τε καὶ γραφήν.

μηδέποτε παρατεταγμένας εὑρεῖν, οὕτω τοι καὶ ἐπὶ τῶν λέξεων. τὰ γὰρ ὑποτακτικὰ τῶν ἄρθρων καὶ αἱ ἐπιταγματικαὶ ἀντωνυμίαι, καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων ἰδιάζει. τοιοῦτο δὲ ἐστὶ καὶ ἐπὶ τοῦ λόγου. ἰδιοῦτο γάρ τοι τὸ συνημμένον. εἰ περιπατεῖ σωκράτης, κινεῖται.

Διάλυσις καὶ συναίρεσις.

Ἔτι ὡς τὰ στοιχεῖα ἀνάλυσιν καὶ συναίρεσιν πάσχει, οὕτω καὶ συλλαβή. πηλείδου, πηλείδαο. ἑρμέας, ἑρμῆς, καὶ λέξις, κατὰ τοὖρον ἐδηδώς, ἤγουν κατεδηδοκώς. κἂν τοὐναντίον λέξις δύο εἰς μίαν. βαρυστενάχων, καὶ δακρυχέων, ἀντὶ τοῦ βαρὺ στενάχων, καὶ δάκρυ χέων καὶ λόγος. συντίθενται μὲν γὰρ συνδεδεμένοι ἀλλήλοις οἱ λόγοι, διῄρηνται δὲ ἀσύνδετοι ὄντες.

Μετάθεσις.

Καὶ μὲν δὴ καὶ συλλαβαὶ μετατίθενται τοῖς στοιχείοις ὁμοίως, κελάρυζα. λακέρυζα. κρυπτοκέφαλος, κεπτοκρύφαλος. καὶ λέξις. οἷον, εἴ τις θεὰς σεμνὰς τὰς σεμνὰς θεὰς λέγοι καὶ ἄπυρον θεῖον τὸ θεῖον ἄπυρον. ἔνθα μὲν γὰρ τὸ σεμνὰς, ἔνθα δὲ τὸ θεῖον προτάττειν σύνηθες. καὶ λόγος. οἷον, τὸ καλούμενον πρωθύστερον. οἱ δ' ἀνέστάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας.

Δύναμις.

Ἔτι ὃν τρόπον τῶν στοιχείων τὰ μὲν φωνήεντα τὰ δὲ σύμφωνα, ταύτῃ καὶ τῶν λέξεων, τὰς μὲν, οἷόν τε προφέρεσθαι καθ' αὑτάς. οἷον, τὰ προστακτικὰ τῶν ῥημάτων. καὶ τὰς κλιτικὰς τῶν ὀνομάτων καὶ

χρυσοῦ δὲ στήσας Ὀδυσσεὺς δέκα πάντα τάλαντα. καὶ ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός. ἔνθα μὲν γὰρ τὸ πάντα, ἔνθα δὲ τὸ μάλα πλεονάζον, τοιοῦτο δὲ καὶ τὸ ὀφθαλμοῖσιν ἰδώμαι. καὶ οἱ παραπληρωματικοὶ δὲ ἔθεν πολλαχῇ εἰς ἔννοιαν συντελοῦσι. καὶ λόγος. ἔοικέ τοι οὔτοι ἀεικές. τὸ γὰρ οὔτοι ἀεικὲς παρέλκον. καὶ ὅσσα οἱ αἶσα γινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ πλεονάζει γὰρ ὅτε μιν τέκε μήτηρ.

Ἔλλειψις.

Ἐπὶ στοιχείου μὲν ἔλλειψις. γαῖα: αἶα, ἑκατέρωθεν, ἑκάτερθεν, πολλάκις, πολλάκι. συλλαβῆς δὲ, ἀστεροπὴ, στεροπή. ἀμφιφορεύς, ἀμφορεύς. ἀπόλλωνα, ἀπόλλω. λέξεως δὲ, εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. ἐνδεῖ γὰρ τὸ ἐστίν. καὶ τὸ θεοκρίτου, ὁ δέ μοι τὸ λαγωβόλον ἁδὺ γελάσσας ὡς πάρος ἐκ μοισᾶν ξεινήιον ὤπασεν εἶμεν. ἐνδεῖ τὸ ὑπέσχετο. Λόγου δὲ ἔλλειψις, κἂν περ τ' ἐπὶ τὰ πρὸς τοὺς θεοὺς ὑπερφρονῇς. ἀλλ' οὐκ ἐπὶ τῆς γῆς. εἴπερ ἐλλείπει τὸ, ἢ βούλει ὑπερφρονεῖν. τοιοῦτο καὶ τὸ, εἰ μὲν κατέλυσάν τινα, εἰ δὲ μή, ἀνεκρούοντο πρὶν εἰς χεῖρας ἐλθεῖν. ἐνδεῖ γὰρ τὸ εὖ εἶχεν. ὅμοιον δ' ἂν εἴη καὶ τὸ, τὸν ἅπαξ ῥηθέντα λόγον δὶς καὶ τρὶς καὶ πολλάκις λαμβάνοντα ἀπὸ κοινοῦ ἐννοεῖν. οἷον, κόσμος ἀνθρώπου φρόνησις. σωφροσύνη. δικαιοσύνη. ἀνδρία. πᾶσι γάρ τοι προσυπακούεται τὸ κόσμος ἐστί.

Ὑποτακτικὴ θέσις.

Ἐπὶ ὡς τῶν συλλαβῶν ἐστιν, ἃς ὑποτασσομένας

Ο ὕτω μὲν ὖν τὰ στοιχεῖα πρὸς ἄλληλα ἔχοντα συντίθησι διαφόρως τὴν συλλαβὴν, σύλληψιν ὅσαν στοιχείων εὐαρμόστως συντεταγμένων. Ον δὲ τρόπον ἡ τῶν στοιχείων συμπλοκὴ ἐθέν ἄτακτον ἔχει, οὕτω καὶ αἱ συλλαβαὶ κατὰ λόγον ἀλλήλαις συνιοῦσαι τὴν λέξιν ποιοῦσι, καὶ αὖ πάλιν αἱ λέξεις τὸν λόγον.

Ορος λόγου.

Ε στι γάρ τοι ὁ λόγος, σύνταξις λέξεων εὐαρμόστως συντεθεμένων διάνοιαν ἔχουσα αὐτοτελῆ.

Ορος λέξεως.

Λ έξις δὲ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. Καὶ μέν τοι καὶ πολλαχῆ ὁμοιόν τι ἐπί τε τῶν στοιχείων καὶ περὶ τῶν λέξεων. ὃ περὶ τῶν λόγων ἔστι θεωρεῖν. Διπλασιάζεται γὰρ οὐ μόνον στοιχεῖον ἵππος. ἄλλος. ἀλλὰ καὶ συλλαβή. ἀλαλάζω. μεμίηκα. περιπεκυλινδέ μένος. καὶ λέξις. ἆρες. ἆρες, τὸ ὁμήρου, καὶ ὦ κύκλωψ, κύκλωψ. τὸ Θεοκρίτου. καὶ ἰώ. ἰώ. τὸ Αριστοφάνους. καὶ λόγος. τὸ δ' ἐγὼ αἴτιος εἰμὶ καὶ ἐν πυρὶ χεῖρας ἔοικεν. ἐν πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ, τὸ Ομήρου, καὶ τὸ δ' ᾠδᾶς ἄρχετο πρᾶτος, ᾠδᾶς ἄρχετο πρᾶτος. τὸ Θεοκρίτου.

Πλεονασμός.

Ε τι καθάπερ στοιχεῖον ἐστὶν ὃ πλεονάζει οὐ τὸ αὐτό. στάχυς, ἄσταχυς. πνοή, πνοιή. τοῦτον, τουτονί. οὕτω καὶ συλλαβή. λιπών, περιλιπών. ἔτυμος, ἐτήτυμος. ἔφης, ἔφησθα. Καὶ λέξις. τοῦτο μὲν ἐν συνθέσει. τοῦτο δὲ ἐν παραθέσει. Βοῶν ὕπο βουκόλος ἀνήρ.

πάθη δὲ ἔκθλιψιν ἡ πρώτη, τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον τῷ ἑπομένῳ φωνήεντι συνακτέον. κατὰ ἐκείνου, κατ' ἐκείνου.

Ἔτι ἐὰν τύχῃ. κατ' ἀρχὴν λέξεως σύμφωνον συμφώνου ἡγησάμενον ἐν συλλήψει, οὐδ' ἐν μέσῳ λέξεως συνθέτου χωρίζεται. Καὶ ὅλως τὰ κατ' ἀρχὴν λέξεως πρὸ ἑτέρων τῷ εἴδει συμφώνων πεφυκότα συντάττεσθαι, ταῦτα δὴ καὶ ἐν μέσῳ λέξεως εὑρίσκοιτ' ἂν ἐν συλλήψει. οἷον, ὕβρις, ὅτι καὶ βρέχω. ἀγρός, ὅτι καὶ γράφω. ὅπλον, ὅτι καὶ πλέω. ὕμνος, ὅτι καὶ μνεία. ὅσα δὲ μή, ἐν διαστάσει κεῖται ἀεί. οὐκοῦν τὸ ἐσθλόν, ἐν συλλήψει. ὅτι οὐδὲ λέξις ἀπὸ τοῦ σ, θ, λ, τυγχάνει τις ἀρχομένη. οὐδὲ τὸ ὄγδοον, ὅτι οὐκ ἀπὸ τοῦ γ, δ, ἀρχή. οὐδὲ τὸ ὄγκος, ὅτι οὐκ ἀπὸ τοῦ γ, κ. Εἰ τὰ αὐτὰ σύμφωνα οὐδέποτε ἐν συλλήψει. ἐκκόπτω οὖν καὶ ἔδδεισε, καὶ κάββαλε, καὶ τὰ τοιαῦτα ἐν διαστάσει. Εἰ πᾶσα συλλαβὴ εἰς σύμφωνον λήγουσα, καὶ τὴν ἑξῆς ἔχει ἀπὸ συμφώνου ἀρχομένην. Ἔτι οὐκ ἔστιν εὑρεῖν τρία σύμφωνα ἀμέσως κείμενα, ὧν τὰ δύο ταὐτὸ δυνάμει.

Μετάθεσις.

Γίνεται δὲ καὶ μετάθεσις τῶν στοιχείων. καρδία, κραδία. ἀτραπός, ἀταρπός. σφάγανον, φάσγανον. ὀλίγος, λοιγός. Καὶ πάθη συμβαίνει τοιαῦθ' ἅττα. τὸ μὲν μακρὸν εἰς βραχέα διαλύεσθαι. ἦγε, ἔαγε, καὶ ἀνάπαλιν συναιρεῖσθαι. ἱερόν, ἱρόν. δίιος, δῖος, ταῦτα γε μὴν ἑτέρας ἂν θεωρίας εἴη.

Ὅρος συλλαβῆς.

καὶ ν, σπανίως μέντοι· ὡς ὑπὲρ τοῦ ἅλς. καὶ τίρυνς, καὶ ἕλμινς. Τοῦ δὲ ρ, εὖ μάλα· πέρσω, πυρσός. διὰ τὸ φωνήεντος δύναμιν ἔχειν τὸ ρ, αὐτὸ δέ γε ρ, οὐκ ἔστιν ὅτου προτάσσοιτ' ἂν συντασσόμενον. Ἔτι τῶν δασέων τὸ θ, καὶ χ. συζευγνύμενα τῷ μ, ἀποτελεῖ συλλαβὴν ὑποτακτικήν. προτακτικὴν δ' οὔ. ἀριθμός. αὐχμός. Ὡσαύτως δὲ καὶ τῶν ψιλῶν, τὸ κ, καὶ τῶν μέσων, τὸ γ, ἀκμή. ὄγμος. Ταυτὸ δὲ τοῦτο συμβαίνει καὶ πρὸ τοῦ δ, τῷ γ, ὄγδοος. καὶ τῷ φ, καὶ τ, πρὸ τοῦ ν. ἔτνος. ἀφνεός. Ἔτι τὸ θ, καὶ χ. τῷ μὲν λ, καὶ ν, καὶ ρ, τῶν ἀμεταβόλων· συντάσσεται προτιθέμενα εἴς τε προτακτικὴν συλλαβὴν εἴς τε ὑποτακτικήν· τῷ δὲ μ, εἰς ὑποτακτικὴν μόνον, ὡς εἴρηται.

Τὸ δὲ φ, ὁμοίως μὲν καὶ τὰ σύστοιχα πρὸς τὸ λ, καὶ ρ. εἰς μόνην δὲ ὑποτακτικὴν πρὸς τὸ ν, ἄφνω. ἀσυλλήπτως δὲ πρὸς τὸ μ, ἔχει παντάπασι. Τὰ ψιλὰ δὲ καὶ μέσα τοῖς ἀμεταβόλοις συντάσσεται. ὡς τὸ θ, καὶ χ. πλὴν τοῦ π, ἀσυμβάτως ἔχοντος πρὸς τὸ μ. καὶ πλὴν τοῦ τ. ἀσυντάκτου μὲν τῷ ν, εἰς προτακτικὴν συλλαβήν. τὸ μ, δὲ προσλαμβάνοντος ὑποτακτικὸν ἔσω ἄμφω. τμῆμα. ἀτμίς. καὶ πλὴν τοῦ β, ἀσυντάκτως πρὸς τὸ μ, καὶ ν, ἔχοντος ὅλως. καὶ πλὴν τοῦ δ, τῷ μὲν μ, καὶ ὑποπλεκομένου, καὶ προπλεκομένου, δμώς, ἄτμητος. τῷ δὲ λ, μὴ δ' ὅλως οἵου τε ὄντος συνάπτεσθαι.

Καθόλου δὲ πᾶν σύμφωνον μεταξὺ ὂν δυεῖν φωνηέντοιν περὶ μίαν λέξιν, τῷ δευτέρῳ συλλαβητέον ἄγω. φέρω. καὶ ἐὰν μὴ ᾖ δὲ μία λέξις ἀλλὰ δύο,

μένα, τὰ δὲ ψόφον· οἷον τὰ σύμφωνα πάντα. φωνὴν δ᾽ οὔ, ἄνευ τῆς τῶν φωνηέντων ἐπιπλοκῆς. Τούτων δ᾽ αὖ πάλιν τὰ μὲν, ψοφεῖ ἀτελέστερον. οἷον τὰ ἄφωνα. τὰ δὲ τελεώτερον. οἷον τὰ ἡμίφωνα.

Συμπάντων δὲ, τὰ μὲν προτακτικά. τὰ δὲ ὑποτακτικά. τῶν μὲν γὰρ φωνηέντων προτακτικὰ, ὡς ἐπὶ τῶν διφθόγγων τὰ α, ε, ο, ὑποτακτικὰ δὲ, τὰ ι, υ, προτακτικόν γε μὴν καὶ αὐτὸ τὸ υ, τοῦ ι, ὡς ἐπὶ τοῦ μυῖα. καὶ υἱός. καὶ ἅρπυια. καὶ ἑτέρων πλειόνων.

Τῶν δὲ συμφώνων προτακτικὰ μὲν, ὡς οὐδαμοῦ ἐπὶ τέλει τασσόμενα λέξεως, τὰ δασέα, καὶ ψιλὰ, καὶ μέσα. τῶν ἀμεταβόλων τὸ λ, καὶ μ, καὶ τῶν διπλῶν τὸ ζ. Καὶ τῶν μὲν δασέων, τὸ φ, καὶ χ, ἐπιλέγεται τὸ θ. ἐχθρός. φθορά. ἀνάπαλιν δ᾽ οὔ. τούτοις δ᾽ ὁμοίως, καὶ τὰ ψιλά τε, καὶ μέσα ἔχει. ἀκτίς. ἅπτω. ὄγδοον. βδέλλω. ὅτι μὴ ἡ τοῦ γ, δ, σύνταξις ἐπὶ ὑποτακτικῆς συλλαβῆς μόνον. Ἔτι τε τὰ δασέα τοῖς ψιλοῖς τε, καὶ μέσοις οὐδέποτε συμφέρεται προτασσόμενα. ὑποτασσόμενα δὲ τοῖς ψιλοῖς. καὶ ἐν διαστάσει. ἄτθις. σαπφώ. ἴακχος. οὐκ ἔτι δὲ καὶ τοῖς μέσοις.

Ἀμετάβολα.

Τῶν δὲ ἀμεταβόλων τὸ μὲν ν, πρὸ τοῦ μ, κεῖσθαι οὐ πέφυκεν ἐπὶ τῆς αὐτῆς λέξεως. διὸ καὶ ἐπὶ τοῦ κέκλιμμαι, καὶ κέκριμμαι, τὸ πρὸ τοῦ μ, συμβαῖνον ν, ἀποβάλλεται. ἐπικεῖσθαι μέν τοι κατ᾽ ἄμφω. ὡς ἐπὶ τοῦ μνεία. ἀμνός. ἀνάπαλιν δὲ τὸ σ. οὐδέποτε γὰρ ὑποτακτικὸν τοῦ μ, ἐπὶ τῆς αὐτῆς, καί τοι τοῦ λ,

ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ ΤΕΤΑΡΤΟΝ.

Λοιπὸν δὲ περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν εἰπεῖν. γραμματικοῦ γὰρ καὶ ἡ περὶ ταῦτα θεωρία, καὶ τῆς γε τοιαύτης συντάξεως, καὶ τοῦ λόγου ἕνεκα πραγματεύεται, ὁ περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ λόγου μερῶν σκεπτόμενος ὡς ἔχει ἤτοι κλίσεως ἢ σχηματισμοῦ, ἢ προσῳδίας, ἢ ὀρθογραφίας. καθάπερ καὶ ὁ διαλεκτικὸς τοῦ συλλογιστικοῦ λόγου ἕνεκα, περὶ ὀνόματος, καὶ ῥήματος, καὶ προτάσεως θεωρεῖ. λεκτέον τοίνυν καὶ ὅπως ἂν τὰ τοῦ λόγου μέρη ἀλλήλοις ὀρθῶς συντασσόμενα ἀποτελοίη τὸν λόγον, ἵνα τέλος ἡ εἰσαγωγὴ ἔχῃ. καὶ διαιρετέον ἀκριβέστερον ἕκαστα καὶ ὁριστέον ἐνταῦθα.

Ὅρος στοιχείου.

Ῥητέον δ' ἴσως ἀπὸ τοῦ πρώτου. οἷον τῶν στοιχείων. ταῦτα γὰρ ἡ πρώτη καὶ ἀμερὴς ἐστὶ τἀνθρώπου φωνή. οὐ γὰρ ὡς ἔτυχεν συμπλέκεται ἀλλήλοις εἰς σύστασιν συλλαβῆς, ἀλλ' ὡς καὶ τοὔνομα δηλοῖ, στοιχεῖ τε καὶ συντάκτως κινούμενά πως συντάσσεται κατὰ λόγον.

Διαίρεσις τῶν στοιχείων.

Τῶν οὖν στοιχείων τὰ μὲν ἀφ' ἑαυτῶν τυγχάνει ἀποτελοῦντα φωνήν. οἷον, τὰ φωνήεντα καλού-

Τῶν δὲ εὐκτικῶν τὸ μὲν πρῶτον πρόσωπον ἀπὸ τῆς γενικῆς τῶν ἰδίων μετοχῶν τροπῇ τῆς ἐσχάτης εἰς ην, καὶ ἐκβολῇ τοῦ ν, καὶ προσθέσει τοῦ ι. οἷον, τιθέντος, τιθείην, ἱστάντος, ἱσταίην. διδόντος, διδοίην. τὰ δ' ἄλλα πρόσωπα ὁμοίως τοῖς εὐκτικοῖς τῶν βαρυτόνων παθητικῶν ἀορίστων γίνεται.

Πρόσωπα τῶν ὑποτακτικῶν.

Τῶν δὲ ὑποτακτικῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ ἰδίου πρωτοτύπου. οἷον, τιθέω, τιθῶ. ἐὰν τιθῶ. ἱστάω, ἱστῶ. ἐὰν ἱστῶ. διδόω, διδῶ. ἐὰν διδῶ. τῆς δὲ τετάρτης οὐκ ἔστι ποιεῖν ὑποτακτικὸν, διὰ ἐναντιότητα δυοῖν συμπιπτόντων κανόνων. ὧν ὁ μὲν εἷς φησὶν, ὅτι τὰ ὑποτακτικὰ τῶν εἰς μι, ὁμοφωνεῖν, καὶ ὁμοτονεῖν θέλει τοῖς ἑαυτῶν πρωτοτύποις. ἕτερος δὲ, ὅτι τὰ ἔχοντα εἰς σ, ὀξύτονον τὴν μετοχὴν, περισπώμενα ἔχειν ὀφείλει τὰ ὑποτακτικά. ἐνταῦθα οὖν τὸ μὲν πρωτότυπον βαρύτονον, ἡ δὲ μετοχὴ εἰς σ, ὀξύτονος. διὸ καὶ ἐξέλιπε παντελῶς. τὸ δὲ δεύτερον τῆς μὲν πρώτης καὶ δευτέρας συζυγίας τῶν εἰς μι, ἀπὸ τοῦ πρώτου γίνεται τροπῇ τοῦ ω, εἰς ης, οἷον ἐὰν τιθῶ, τιθῇς. τῆς δὲ τρίτης συζυγίας ἀπὸ τοῦ πρώτου προσθέσει μόνον τοῦ σ, ἐὰν διδῶ διδῷς. καὶ ὅλως ἐπὶ πάντων τῶν προσώπων ἐνταῦθα τὸ ω, φυλάττεται, ἢ καὶ ἄλλως τῶν εἰς μι τὰ δεύτερα, καὶ τρίτα πρόσωπα τῶν ὑποτακτικῶν τῆς μὲν πρώτης συζυγίας διὰ τοῦ η, ἐκφέρονται, τῆς δὲ δευτέρας, διὰ τοῦ α. τῆς δὲ τρίτης διὰ τοῦ ω μεγάλου.

Σχηματισμὸς τῶν ἀπαρεμφάτων.

Τὰ δὲ ἀπαρέμφατα τῶν εἰς μι, εἰς ναι, λήγει, καὶ ἀπὸ

Σχηματισμὸς τοῦ παρατατικοῦ.

Τοῦ δὲ παρατατικοῦ τὸ πρῶτον γίνεται ἀπὸ τοῦ ἰδίου ἐνεστῶτος τροπῇ τῆς μαι εἰς μην. τίθεμαι, ἐτιθέμην. ἵσταμαι, ἱστάμην. δίδομαι, ἐδιδόμην. ζεύγνυμαι, ἐζευγνύμην.

Σχηματισμὸς τοῦ β΄, ἀορίστου.

Τοῦ δὲ β΄, ἀορίστου ἀπὸ τοῦ συνδιαθέτου συστοίχου παρατατικοῦ ἐκβολῇ τῆς πρώτης συλλαβῆς τῆς κατὰ ἀναδιπλασιασμόν. ὡς καὶ ἐπὶ τῶν ἐνεργητικῶν εἴρηται. οἷον, ἐτιθέμην, ἐθέμην. ἐδιδόμην, ἐδόμην. τὸ δὲ δεύτερον ἀπὸ τοῦ πρώτου ἀμοιβῇ τῆς ἐσχάτης συλλαβῆς εἰς σο. οἷον, ἐτιθέμην, ἐτίθεσο. ἱστάμην, ἵστασο. ἐδιδόμην, ἐδίδοσο, ἃ δὴ καὶ κατὰ κρᾶσιν ἐκφέρεται. οἷον, ἐτίθου. ἵστω. ἐδίδου. πλὴν τῆς τετάρτης συζυγίας. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου τροπῇ τοῦ σ, εἰς τ. οἷον, ἐτίθεσο, ἐτίθετο. ἵστασο, ἵστατο, τὰ δ᾽ ἄλλα πάντα ὁμοίως τοῖς τῶν παθητικῶν βαρυτόνων. πλὴν ἐπὶ τούτων, τὸ ἴδιον ἀρχικὸν φωνῆεν διόλου φυλάττεται.

σει τοῦ α. οἷον, ὁ τιθείς, ἡ τιθεῖσα. ὁ ἱστάς, ἡ ἱστᾶσα. ὁ διδούς, ἡ διδοῦσα. ὁ ζευγνύς, ἡ ζευγνῦσα. τῶν δὲ οὐδετέρων ἀπὸ τῆς γενικῆς τοῦ ἰδίου ἀρσενικοῦ ἀφαιρέσει τῆς τος. οἷον τοῦ τιθέντος, τὸ τιθέν. τοῦ ἱστάντος, τὸ ἱστάν. τοῦ διδόντος, τὸ διδόν. τοῦ ζευγνύντος, τὸ ζευγνύν.

Σχηματισμὸς τῶν εἰς μι, παθητικῶν τοῦ ἐνεστῶτος.

Τῶν δὲ παθητικῶν τοῦ μὲν ἐνεστῶτος τὸ πρῶτον πρόσωπον γίνεται ἀπὸ τοῦ ἰδίου ἐνεργητικοῦ τροπῇ τῆς μι, εἰς μαι. καὶ συστολῇ τῆς παραληγούσης εἰς τὸ ἴδιον ἀρκτικὸν φωνῆεν. οἷον, τίθημι, τίθεμαι. ἵστημι, ἵσταμαι. δίδωμι, δίδομαι. ζεύγνυμι, ζεύγνυμαι. τὰ γὰρ εἰς μι, ἐπὶ τῶν ἑνικῶν, καὶ πληθυντικῶν συστέλλουσι τὴν παραλήγουσαν, ὡς εἴρηται. πλὴν τινῶν τῆς δευτέρας συζυγίας, ἃ παρ᾽ ἐπὶ τῶν ἑνικῶν, καὶ πληθυντικῶν τῶν β΄, ἀορίστων φυλάττουσι τὴν παραλήγουσαν μακράν. οἷον, ἔστητον, ἔστημεν. καὶ ἔβητον, ἔβημεν. ὧν δὴ καὶ τὰ προστακτικὰ τῇ αὐτῇ μακρᾷ παραλήγεται, ὡς εἴρηται. οἷον, στῆθι, στήτω. βῆθι, βήτω. τὸ δὲ δεύτερον ἀπὸ τοῦ πρώτου τροπῇ τῆς μαι, εἰς σαι. οἷον, τίθεμαι, τίθεσαι, καὶ τίθη. ἵσταμαι ἵστασαι, καὶ ἵστη, ἐκβολῇ τοῦ σ, καὶ κράσει τῶν φωνηέντων εἰς η, ἐπὶ τῆς πρώτης, καὶ δευτέρας συζυγίας. ἐπὶ γὰρ τοῦ β΄, προσώπου τῶν ἑνικῶν τῆς τρίτης, καὶ τετάρτης συζυγίας οὐ γίνεται κρᾶσις. οἷον δίδομαι, δίδοσαι. ζεύγνυμαι, ζεύγνυσαι. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου τροπῇ τοῦ σ, εἰς τ. οἷον, τίθεσαι, τίθεται. ἵστασαι, ἵσταται.

Τούτων δὲ τῶν εἰς μι, τὸ μὲν δεύτερον τῶν ἐνεργητικῶν τοῦ ὁριστικοῦ ἐνεστῶτος ἀπὸ τοῦ πρώτου γίνεται ἀφαιρέσει τοῦ ι, καὶ τροπῇ τοῦ μι, εἰς σ, τίθημι. τίθης. ἵστημι, ἵστης. δίδωμι, δίδως. ζεύγνυμι, ζεύγνυς. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου προσλήψει τοῦ ι, τίθης, τίθησι. δίδως, δίδωσι. τὸ δὲ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν τροπῇ τοῦ μακροῦ φωνήεντος εἰς τὸ παράληγον φωνῆεν τῆς οἰκείας ἀρχῆς, καὶ τοῦ σ, εἰς τ, καὶ προσθέσει τοῦ ον. οἷον, τίθης τίθετον. ἵστης, ἵστατον. δίδως, δίδοτον. ζεύγνυς, ζεύγνυτον. τὸ τρίτον ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, τὸ δὲ πρῶτον τῶν πληθυντικῶν ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν τροπῇ τοῦ μακροῦ φωνήεντος, ὡς εἴρηται, εἰς τὸ παράληγον τῆς ἰδίας ἀρχῆς, καὶ ἀμοιβῇ τοῦ μι, εἰς μεν. οἷον, τίθημι, τίθεμεν. ἵστημι, ἵσταμεν. δίδωμι, δίδομεν. ζεύγνυμι, ζεύγνυμεν. τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν τροπῇ τοῦ ον, εἰς ε, τίθετον, τίθετε. τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου τῶν δυϊκῶν μεταβολῇ τῆς τον, εἰς σι, καὶ παρενθέσει τοῦ α. οἷον, τίθετον, τιθέασιν. ἵστατον, ἱστάασιν, καὶ κατὰ συναίρεσιν ἱστᾶσιν. δίδοτον, διδόασιν. ἐπὶ δὲ τῆς τετάρτης συζυγίας, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁμοφωνεῖ τοῖς τῶν βαρυτόνων τρίτοις προσώποις, ζεύγνυτον, ζευγνύουσιν. εὕρηται μέν τοι καὶ ζευγνύασι. τὸ δὲ δεύτερον πρόσωπον τοῦ παρατατικοῦ, καὶ ἀορίστου δευτέρου γίνεται τροπῇ τοῦ ν, εἰς σ, ἐτίθην, ἐτίθης. ἵστην, ἵστης. ἐδίδων, ἐδί-

ἀρκτικοῦ συμφώνου σὺν τῷ ι. οἷον θῶ, θιθῶ. διὰ δὲ τὴν ἐπ' ἀλληλίαν τῶν δασέων τροπῇ τοῦ θ, εἰς τ, ἐκφέρεται. τιθῶ τίθημι. διδῶ, δίδωμι. στῶ μὲν τοι τοῦ στιστῶ, διὰ τὸ δύσφωνον. ἀλλ' ἐκβολῇ τοῦ σ, ἐκφέρεται, ἱστῶ, ἵστημι. τὰ γε μὴν εἰς μι, τῆς τετάρτης συζυγίας οὐκ ἀναδιπλασιάζεται. οἷον, ζεύγω, ζευγνύω, ζεύγνυμι. ῥήγω, ἢ ῥήγω, ῥηγνύω, ῥήγνυμι. δείκω. δεικνύω, δείκνυμι.

Σχηματισμὸς τῶν μελλόντων
τῶν εἰς μι.

Ἔτι δ' ἂν σχηματίσαι τοὺς μέλλοντας τῶν εἰς μι, τῆς τε πρώτης, καὶ δευτέρας, καὶ τρίτης, ἀπὸ τοῦ ἰδίου πρωτοτύπου ἀφαιρέσει τῆς κατὰ ἀναδιπλασιασμὸν ἀρκτικῆς συλλαβῆς. οἷον, τιθέω, θήσω. ἱστάω, στήσω. διδόω, δώσω. καθάπερ δὴ καὶ οἱ μέλλοντες τῶν περισπωμένων σχηματίζονται. τῆς δὲ τετάρτης οἱ μέλλοντες ποτὲ μὲν τὸ ξ, ἔχουσι, ποτὲ δὲ τὸ σ. καὶ ὅτε μὲν ἡ παραλήγουσα τοῦ ἐνεστῶτος συλλαβίζεται τῷ γ, ἢ τὸ κ. τότε τὸ ξ, ἔχει ὁ μέλλων. οἷον, ῥήγνυμι, ῥήξω. δείκνυμι, δείξω. ὅτε δὲ ἡ παραλήγουσα οὐδέτερον τούτων ἔχει, ὁ μέλλων προσλαμβάνει τὸ σ. οἷον, ἀμφιέννυμι, ἀμφιέσω. κορέννυμι, κορέσω. βέλτιον μέντοι καὶ ἰδιώτερον ἀναλύοντας εἰς τὰ πρωτότυπα τῶν βαρυτόνων, ἐντεῦθεν τοὺς μέλλοντας τῆς τετάρτης συζυγίας τῶν εἰς μι, σχηματίζειν. οἷον, δείκω, δείκνω. οὗ τὸ παράγωγον δεικνύω, δείξω. ζεύγω, ζεύξω. ἕω, ἕσω. κορέω, κορέσω.

Σχηματισμὸς τῶν εἰς μι, ἐνεργητικῶν προσώπων.

τον ἀπὸ τοῦ τρίτου τῶν ϛʹνικῶν γίνεται. καὶ εἰ μὲν εἰς ται καθαρὸν λήγει, προσλήψει τοῦ ν, γίνεται τὸ τρίτον τῶν πληθυντικῶν. οἷον, πεποίηται, πεποίηνται. κέκριται, κέκρινται. οἱ δὲ δύο σύμφωνα περὶ τῆς ληγούσης ἔχει τὸ τρίτον τῶν ϛʹνικῶν, κοινῶς μὲν γενέσθαι οὐχ οἷόν τε. ἰωνικῶς δὲ τροπῇ τοῦ ψιλοῦ, ἐν οἷς ἂν ᾖ, εἰς δασὺ, καὶ παρενθέσει τοῦ α. τέτυπται, τετύφαται. πέπλεκται, πεπλέχαται. ἐφ᾽ ὧν δὲ ὁ ἐνεστὼς τὸ ζ, ἔχει, οὐ τὸ σ, ἀλλὰ τὸ δ, ἀντὶ τούτου προσλαμβάνει τὸ τρίτον τῶν πληθυντικῶν. οἷον, πέφρασται πεφράδαται, καὶ τὰ τοῦ ὑπερσυντελίκου δὲ ὁμοίως τοῖς τοῦ παρακειμένου γίνεται. πλὴν ἐφ᾽ ὧν τοῦ παρακειμένου κατάληξις ἡ αι δίφθογγος, ἀντὶ τούτου τὸ ο μικρὸν. οἷον, τέτυψαι, ἐτέτυψο. τέτυπται, ἐτέτυπτο.

Περὶ σχηματισμοῦ τῶν χρόνων τῶν εἰς μι.

Τῶν δὲ εἰς μι, τρεῖς εἰσὶν, ὡς εἴρηται, ἴδιοι χρόνοι, ὅ, τε ἐνεστὼς, καὶ παρατατικὸς, καὶ δεύτερος ἀόριστος. γίνεται δὲ ὁ μὲν παρατατικὸς ἀπὸ τοῦ ἐνεστῶτος τροπῇ τῆς μι συλλαβῆς εἰς ν, καὶ προσλήψει τῆς συλλαβικῆς αὐξήσεως, ἢ χρονικῆς κατὰ τὴν ἀρχὴν ἔνθα ἂν ἐγχωρεῖ. οἷον, τίθημι, ἐτίθην. ἵστημι, ἵστην. δίδωμι, ἐδίδων. ζεύγνυμι, ἐζεύγνυν. ὁ δὲ δεύτερος ἀόριστος ἀπὸ τοῦ παρατατικοῦ ἐκβολῇ τῆς πρώτης συλλαβῆς τῆς, κατὰ ἀναδιπλασιασμὸν. οἷον, ἐτίθην, ἔθην. ἵστην, ἔστην. ἐδίδων, ἔδων. τὰ γὰρ εἰς μι, ὡς ἁπλῶς εἰπεῖν, τὰ πρωτότυπα κατὰ ἀναδιπλασιασμὸν σχηματίζεται, προσλήψει τοῦ

λήγει τὸ δεύτερον τῶν ἑνικῶν. εἰ μὲν τὸ πρῶτον πρὸ τῆς μαι, τὸ σ, ἔχει, ἢ τὸ λ, ἢ τὸ ρ, ταῦτα καὶ ἐπὶ τοῦ τρίτου προσώπου φυλάττεται. οἷον, ἤκουσμαι, ἤκουσαι, ἤκουσται. ἔσπαρμαι, ἔσπαρσαι, ἔσπαρται. ἔψαλμαι, ἔψαλσαι, ἔψαλται. εἰ δὲ πρὸ τῆς μαι ἕτερον μ, ἔχει τετραμμένον ἀπὸ τοῦ γ, τὸ ν, πρὸ τοῦ τ, προσλαμβάνεται. οἷον, ἔρραμαι, ἔρρανται. πέφαμμαι, πέφανται. εἰ δὲ τὸ πρῶτον τῶν ἑνικῶν εἰς μαι, καθαρὸν λήγει, καὶ τὸ τρίτον τῶν ἑνικῶν οὐδὲν πρὸ τοῦ τ, προσλαμβάνει. οἷον, πεποίημαι, πεποίησαι, πεποίηται. κέκριμαι, κέκρισαι, κέκριται, ἐπὶ δὲ τῶν δυϊκῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν ὁμοίως τῷ ἐνεστῶτι. οἷον, τέτυμμαι, τετύμμεθον. λέλεγμαι, λελέγμεθον. τὸ δὲ δεύτερον ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν τροπῇ τῆς ται, εἰς θον, καὶ τοῦ ψιλοῦ. ἐὰν ᾖ, εἰς τὸ οἰκεῖον δασύ. οἷον, τέτυπται, τέτυφθον. λέλεκται, λέλεχθον. ἔνθα δὲ μὴ ὑπάρχει ψιλὸν, ἀεὶ τὸ δεύτερον τῶν δυϊκῶν προσλαμβάνει τὸ σ. οἷον πεποίηται, πεποίησθον. ἤκουσται, ἤκουσθον. πλὴν ἐφ' ὧν τὸ ρ, ἢ τὸ λ, ἐστι ταῦτα γὰρ καὶ ἐπὶ τοῦ δευτέρου τῶν δυϊκῶν φυλάττεται μὴ δυναμένου τοῦ ρ, ἢ τοῦ λ, συνυπάρχειν αὐτῷ. οἷον, ἔσπαρται, ἔσπαρθον. ἔψαλται, ἔψαλθον. τῶν δὲ πληθυντικῶν, τὸ πρῶτον ἀπὸ τοῦ πρώτου τῶν δυϊκῶν μεταποιήσει τῆς ἐσχάτης εἰς θα. ὁμοίως τῷ ἐνεστῶτι, τετύμμεθον, τετύμμεθα. λελέγμεθον λελέγμεθα. τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν ἐκβολῇ τοῦ ν, καὶ τροπῇ τοῦ ο, εἰς ε, τέτυφθον, τέτυφθε. λέλεχθον, λέλεχθε. τὸ δὲ τρί

τρίτον ἀεὶ τοῦ δευτέρου παρενθέσει τοῦ τ. οἷον, ἐτύπτεο, ἐτύπτετο. τὰ δ' ἄλλα ὁμοίως τοῖς τοῦ ἐνεστῶτος, καὶ τῶν μελλόντων σχηματίζεται. πλὴν ὅσον τὸ τρίτον τῶν δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ. ἀλλὰ ἀπὸ τούτου γίνεται μεταποιήσει τῆς ληγούσης εἰς θην. οἷον, ἐτύπτεσθον, ἐτυπτέσθην. τοῦ δὲ μέσου ἀορίστου πρώτου τὸ δεύτερον ἀπὸ τοῦ πρώτου ἐξαιρέσει τοῦ μ, καὶ ι, καὶ μεταβολῇ τοῦ η, εἰς ε, καὶ τούτου πάλιν εἰς ο, καὶ κράσει τοῦ α, καὶ ο, εἰς ω. οἷον, ἐτυψάμην, ἐτύψαο, ἐτύψω. τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου τοῦ ἐντελοῦς. οἷον, ἐτύψαο, ἐτύψατο. τὰ δ' ἄλλα ὁμοίως τοῖς τοῦ δευτέρου ἀορίστου, πλὴν ὅσον, ἐνταῦθα τὸ παραλῆγον α, ἐν πᾶσι τοῖς προσώποις φυλάττεται ἄτρεπτον. τοῦ δὲ παθητικοῦ παρακειμένου τὸ δεύτερον ἀπὸ τοῦ πρώτου τροπῇ τοῦ ληκτικοῦ μ, εἰς σ, ἤτοι ἐνεργείᾳ, ἢ δυνάμει. εἰ μὲν γὰρ ὁ μέλλων διὰ τοῦ ψ, ἢ ξ, ὁ σχηματισμὸς τοῦ δευτέρου τῶν ἐνικῶν τοῦ παθητικοῦ παρακειμένου διὰ τοῦ αὐτοῦ διπλοῦ γίνεται. οἷον, τύψω, τέτυμμαι, τέτυψαι. λέξω, λέλεγμαι, λέλεξαι. εἰ δὲ ὁ μέλλων ἕτερον σύμφωνον πρὸ τῆς ληγούσης ἔχει, τὸ σ, προσλαμβάνει. οἷον, ποιήσω, πεποίημαι, πεποίησαι. κρινῶ, κέκριμαι, κέκρισαι. τὸ δὲ τρίτον ἀεὶ τοῦ δευτέρου τροπῇ τοῦ σ, εἴτε ἐνεργείᾳ ὄντος, εἴτε δυνάμει εἰς τ, καὶ εἰ μὲν τὸ δεύτερον ἔχει τι τῶν διπλῶν πρὸ τοῦ τ, προσλαμβάνεται τὸ ψιλὸν, ὅπερ ἦν δυνάμει ἐν τῷ διπλῷ. οἷον, τέτυψαι, τέτυπται, λέλεξαι, λέλεκται. εἰ δὲ εἰς σαι,

τύψῃ. τὸ δὲ τρίτον τῶν ἑνικῶν γίνεται ἀπὸ τοῦ ἑνικοῦ δευτέρου παρενθέσει τοῦ τ. οἷον, τύπτεαι, τύπτεται. τυφθήσεαι, τυφθήσεται. τυπήσεαι, τυπήσεται. τετύψεαι, τετύψεται. τύψεαι, τύψεται. τῶν δὲ δυϊκῶν τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν μεταποιήσει τῆς ληγούσης εἰς μεθον. τύπτομαι, τυπτόμεθον. τυφθήσομαι, τυφθησόμεθον. τὸ δὲ δεύτερον, καὶ τρίτον ὁμοφωνεῖτον, καὶ ἀπὸ τοῦ τρίτου γίνεσθον. μεταποιήσει τῆς ἐσχάτης εἰς σθον. τύπτεται, τύπτεσθον. τυφθήσεται, τυφθήσεσθον. τῶν δὲ πληθυντικῶν, τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν δυϊκῶν μεταποιήσει τῆς ληγούσης εἰς θα. τυπτόμεθον, τυπτόμεθα. τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου μεταποιήσει τῆς ἐσχάτης εἰς θε. τύπτεσθον, τύπτεσθε. τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν τροπῇ τοῦ παραλήγοντος ε, εἰς ο μικρὸν καὶ προσλήψει τοῦ ν. τύπτεται, τύπτονται. ὁμοίως δὲ τούτοις, καὶ τοῦ μέσου μέλλοντος δευτέρου τῶν προσώπων ὁ σχηματισμὸς γίνεται, πλὴν ὅσον ἐπὶ τούτου τὸ δεύτερον τῶν ἑνικῶν γίνεται τροπῇ τῆς ου, εἰς ει, δίφθογγον. οἷον, τυποῦμαι, τυπεῖαι, καὶ κράσει τῆς ει. καὶ αι, διφθόγγου εἰς η, τυπῇ, καὶ τὸ τρίτον τῶν πληθυντικῶν τροπῇ τῆς ει διφθόγγου εἰς ου. οἷον, τυπεῖται, τυποῦνται. τὸ δὲ παρατατικοῦ, καὶ μέσου ἀορίστου δευτέρου, τὸ δεύτερον τῶν ἑνικῶν ἀπὸ τοῦ πρώτου γίνεται ἐξαιρέσει τοῦ μ, καὶ ν, καὶ τροπῇ τοῦ η, εἰς ε, καὶ μεταθέσει, καὶ κράσει τοῦ ε, καὶ ο, εἰς ου. οἷον, ἐτυπτόμην, ἐτύπτεο, ἐτύπτου. καὶ τὸ

κοῦ β΄, ἀορίστου, τροπῇ τῆς ἐσχάτης εἰς ην. οἷον, ἔτυπον, ἐτύπην, ἔσπαρον, ἐσπάρην.

Ο δὲ πρῶτος καὶ δεύτερος μέλλων, ἀπὸ τοῦ δευτέρου προσώπου τῶν συστοίχων ἀορίστων προσλήψει τῆς ομ, καὶ ἀφαιρέσει τῆς κατὰ τὴν ἀρχὴν αὐξήσεως. οἷον, ἐτύφθης, τυφθήσομαι. ἐτύπης, τυπήσομαι.

Ο δὲ μετ' ὀλίγον μέλλων ἀπὸ τοῦ δευτέρου προσώπου τῶν γενικῶν τοῦ παθητικοῦ παρακειμένου ἐπενθέσει τοῦ ομαι. οἷον, τέτυψαι, τετύψομαι. λέλεξαι, λελέξομαι. πέφρασμαι, πεφράσομαι.

Οἱ δὲ μέσοι ἀόριστοι καὶ μέλλοντες ἀπὸ τῶν ὁμωνύμων ἐνεργητικῶν γίνονται. ὁ μὲν πρῶτος ἀόριστος, ἀπὸ τοῦ πρώτου ἐνθέσει τῆς μην. οἷον, ἔτυψα, ἐτυψάμην. ὁμοίως δὲ καὶ ὁ δεύτερος. οἷον, ἔτυπον, ἐτυπόμην. ὁ δὲ πρῶτος μέλλων ἀπὸ τοῦ πρώτου ἀμοιβῇ τοῦ ω μεγάλου εἰς ο, καὶ προσλήψει τῆς μαι. οἷον, τύψω, τύψομαι. ὁ δὲ δεύτερος ἀπὸ τοῦ δευτέρου μεταβολῇ τῆς ο, εἰς ου. οἷον, τυπῶ, τυποῦμαι. καὶ περὶ μὲν τοῦ σχηματισμοῦ τῶν χρόνων ἔστω ταυτὶ ἱκανά.

Περὶ προσώπων σχηματισμοῦ.

Γίνεται τοίνυν τὸ δεύτερον τῶν γενικῶν τοῦ τε ἐνεστῶτος, καὶ τῶν παθητικῶν μελλόντων, καὶ τοῦ μέσου πρώτου ἀπὸ τοῦ πρώτου ἐκβολῇ τοῦ μ, καὶ τροπῇ τοῦ ο, εἰς ε, καὶ κράσει τοῦ ε, καὶ αι διφθόγγου εἰς η. οἷον, τύπτομαι, τύπτεαι, τύπτῃ. τυφθήσομαι, τυφθήσεαι, τυφθήσῃ. τυπήσομαι, τυπήσεαι, τυπήσῃ. τετύψομαι, τετύψεαι, τετύψῃ. τύψομαι, τύψεαι,

Ο ἀόριστος πρῶτος ἀπὸ τοῦ παθητικοῦ παρακειμένου γίνεται τροπῇ τῆς μαι, εἰς θην, καὶ εἰ σύμφωνο μ κατ' ἀρχὰς ἔχει ἀποβάλλων αὐτό. οἷον, τέτυμμαι, ἐτύφθην. λέλεγμαι, ἐλέχθην. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται ὁ παρακείμενος, τὸ αὐτὸ φυλάττει καὶ ὁ ἀόριστος. οἷον, ὥπλισμαι, ὡπλίσθην. ἔψαλμαι, ἐψάλθην. καὶ εἰ μὲν ὁ παθητικὸς παρακείμενος, πρὸ τῆς μαι, τὸ γ, ἔχει, τρέπει αὐτὸ εἰς τὸ δασὺ σύμφωνον τοῦ ἐνεργητικοῦ παρακειμένου. οἷον, λέλεχα, λέλεγμαι. ἐλέχθην. εἰ δὲ τὸ μ, τετραμμένον μὲν ἀπὸ τοῦ β, ὁμοίως τρέπει αὐτὸ εἰς τὸ οἰκεῖον δασύ. οἷον, τέτυφα, τέτυμμαι, ἐτύφθην. τετραμμένον δὲ ἀπὸ τοῦ γ, ὁ ἀόριστος τὸ, ν, προσλαμβάνει. οἷον, μεμίαμμαι, ἐμιάνθην. εἰ δὲ τὸ σ, ἢ τὸ ρ, ἢ τὸ λ, ταῦτα φυλάττει καὶ ὁ ἀόριστος. οἷον, ἔσπαρμαι, ἐσπάρθην, ἔψαλμαι, ἐψάλθην. πέφρασμαι, ἐφράσθην. εἰ δὲ οὐδὲν ἔχει ὁ παθητικὸς παρακείμενος, οὐδ' ὁ παθητικὸς ἀόριστος ἕξει. οἷον κέκριμμαι, ἐκρίθην, πεποίημαι. ἐποιήθην. σεσημείωται τὸ μέμνημαι, ἐμνήσθην. καὶ σέσωσμαι, ἐσώθην.

Παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ ἀόριστος τῷ παθητικῷ παρακειμένῳ. οἷον, τέτυμμαι ἐτύφθην. πεποίημαι, ἐποιήθην. πλὴν τοῦ εὕρημαι, εὑρέθην. ἀφήρημαι, ἀφηρέθην. καὶ τῶν δισυλλάβων τῆς πρώτης συζυγίας τῶν ἐχόντων τὸ ε, τετραμμένον εἰς τὸ α, ἐπὶ τοῦ παρακειμένου. ἐπὶ τούτων γὰρ πάλιν τὸ ε, προσλαμβάνει ὁ ἀόριστος. οἷον, ἔστραμμαι, ἐστρέφθην. τέθραμμαι, ἐθρέφθην.

Ο δὲ παθητικὸς δεύτερος ἀόριστος ἀπὸ τοῦ ἐνεργητι-

ρακείμενος τετραμμένον γε μὴν εἰς τὸ γ, ὡς εἴρηται καὶ ὁ παθητικὸς ἕξει αὐτὸ τετραμμένον εἰς μ. διὰ τὸ ἐπαγόμενον μ. οἷον, μιαίνω, μεμίαγκα, μεμίαμμαι. μεμίασμαι δὲ ἑτεροκλίτως κατὰ σὺν ἀττικούς. εἰ δὲ ὁ μὲν ἐνεστὼς ἔχει αὐτὸ ὁ δὲ ἐνεργητικὸς παρακείμενος οὐκ ἔχει, οὐδ' ὁ παθητικὸς ἕξει. οἷον, κρίνω, κέκρικα, κέκριμαι. εἰ δὲ ὁ ἐνεστὼς λήγει εἰς ω, καθαρὸν, ὁ παθητικὸς παρακείμενος, ὡς ἐπὶ τὸ πλεῖστον, οὐδὲν προσλαμβάνει. οἷον, πεφώρακα, πεφώραμαι. πεποίηκα, πεποίημαι. τετόξευκα, τετόξευμαι. ἑλκύω μέν τοι εἵλκυσμαι. ἀκούω, ἤκουσμαι. γελάω, γεγέλασμαι. τελέω, τετέλεσμαι. παραλήγουσι δὲ ἀεὶ τὴν αὐτὴν ἔχει ὁ παθητικὸς παρακείμενος τῷ ἐνεργητικῷ. οἷον, τέτυφα, τέτυμμαι. πεποίηκα, πεποίημαι. πλὴν ἐφ' ὧν τὸ ε, τοῦ ἐνεργητικοῦ παρακειμένου τρέπεται εἰς ο, ἀττικῶς. τοῦτο γὰρ τοῦ παθητικοῦ παρακειμένου ἀναλαμβάνουσι τὸ ε. οἷον, λέγω, λέλοχα, λέλεγμαι. κλέπτω, κέκλοφα, κέκλεμμαι. βρέχω, βέβροχα, βέβρεγμαι.

Ὑπερσυντέλικος.

Ὁ δὲ ὑπερσυντέλικος ἀπὸ τῆς ἰδίου παρακειμένου τροπῇ τῆς μαι, εἰς μην, καὶ προσλαμβάνων κατὰ τὴν ἀρχὴν τὸ ε, εἰ ὁ παρακείμενος ἄρχεται ἀπὸ συμφώνου. οἷον, τέτυμμαι, ἐτετύμμην. λέλεγμαι, ἐλελέγμην. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, οὐδὲν προσλαμβάνει. οἷον, ἔσραμμαι, ἐσράμμην. ἤκουσμαι, ἠκούσμην.

Πρῶτος ἀόριστος.

ἀπὸ τοῦ ἐνεργητικοῦ μέλλοντος, τροπῇ τοῦ ω μεγάλου, εἰς ο, καὶ προσθέσει τῆς μαι. οἷον, τύψω, τύψομαι.

Παρατατικός.

Ο δὲ παρατατικὸς ἀπὸ τοῦ ἐνεργητικοῦ παρατατικοῦ προσθέσει τῆς μην. οἷον, ἔτυπτον, ἐτυπτόμην, ἢ καὶ ἀπὸ τοῦ συστοίχου ἐνεστῶτος μεταβολῇ τῆς μαι εἰς μην, καὶ τὴν ἄρχουσαν αὔξων χρονικῶς, ἢ συλλαβικῶς. οἷον, τύπτομαι, ἐτυπτόμην. ἄγομαι, ἠγόμην.

Παθητικὸς παρακείμενος.

Ο δὲ παθητικὸς παρακείμενος ἀπὸ τοῦ ἐνεργητικοῦ γίνεται, τροπῇ τῆς ἐσχάτης εἰς μαι, καὶ εἰ μὲν εἰς φα, λήγει ὁ ἐνεργητικὸς παρακείμενος, ὁ παθητικὸς ὤφειλε μὲν πρὸ τῆς μαι, προσλαμβάνειν τὸ β, προσλαμβάνει δὲ ἀντὶ τούτου τὸ μ, διὰ τὸ ἀσυμφώνως ἔχειν τὸ β, πρὸς τὸ μ. οἷον, τέτυφα, τέτυμμαι. εἰ δὲ εἰς χα, ὁ παθητικὸς πρὸ τῆς μαι, προσλαμβάνει τὸ γ. οἷον, λέλεχα, λέλεγμαι. εἰ δὲ εἰς κα, ὅτε μὲν ὁ ἐνεστὼς αὐτοῦ πρὸ τοῦ ω, σύμφωνον ἔχει, εἰ μὲν μὴ ἀμετάβολον εἴη, ἀεὶ τὸ σ, προσλαμβάνει. οἷον, πλήθω, πέπληκα, πέπλησμαι. ἄλω, ἧκα, ἧσμαι. πλάσσω, πέπλακα, πέπλασμαι. λακτίζω, λελάκτικα, λελάκτισμαι. εἰ δὲ ἀμετάβολον, εἰ μὲν τὸ ρ, ἢ τὸ λ. ταῦτα φυλάττει, καὶ ὁ παθητικὸς παρακείμενος πρὸ τοῦ μ, ὁμοίως τῷ ἐνεργητικῷ. οἷον, σπείρω. ἔσπαρκα. ἔσπαρμαι. ψάλλω, ἔψαλκα, ἔψαλμαι εἰ δὲ τὸ ν, ἔχει δὲ καὶ ὁ ἐνεργητικὸς πα-

βω, ἔλιβον. λείπω, ἔλιπον. φεύγω, ἔφυγον. ἐλεύθω, ἤλυθον. ὁμοίως δὲ καὶ φαίνω, ἔφανον. δαίω, ἔδαιον ἐκβολῇ δηλονότι, τοῦ ι, καὶ λήβω, ἔλαβον. λήχω, ἔλαχον. δήκω, ἔδακον. τροπῇ τοῦ η, εἰς α. ὅσα δὲ ἀπὸ τοῦ ἐνεστῶτος ἔχει μὲν τὴν ει δίφθογγον, ἢ τὸ ε, ἔχει δὲ καὶ ἀμετάβολον πρὸ αὐτῶν ἑτέρων συμφώνων ὑποτασσομένων, ἢ μετὰ ταῦτα, τηνικαῦτα, ὁ δεύτερος ἀόριστος ἐπὶ τῆς παραληγούσης τὸ α, ἔχει. οἷον, σπείρω, ἔσπαρον. πλέκω, ἔπλακον. τρέπω, ἔτραπον. πείρω, ἔπαρον. πέρθω, ἔπαρθον. δέρκω, ἔδαρκον. στέλλω, ἔσταλον. τέμνω, ἔταμον. τὸ δὲ ἤγαγον, καὶ ἐπέπληγον κατὰ ἀναδιπλασιασμὸν ἔθει ἰωνικῷ. καὶ τὸ ἔχον παρενθέσει τοῦ σ, ἰδιοσχηματίστως, ἢ καὶ ἀπὸ τοῦ χέω, χήσω. ὃ καὶ βέλτιον οἶμαι.

Σχηματισμὸς τοῦ δευτέρου μέλλοντος.

Ο δὲ δεύτερος μέλλων, ἀπὸ τοῦ δευτέρου ἀορίστου γίνεται εἰς ω, περισπώμενος. διὸ καὶ τὸ αὐτὸ σύμφωνον τοῦ δευτέρου ἀορίστου φυλάττει, καὶ παραλήγουσαν τὴν αὐτὴν ἔχει ἐκβολῇ μέντοι τῆς αὐξήσεως. συνάρχεται γὰρ τῷ πρώτῳ μέλλοντι. οἷον, ἔτυπον, τυπῶ. ἔσπαρον, σπαρῶ.

Περὶ σχηματισμοῦ τῶν παθητικῶν.

Εφεξῆς δὲ καὶ περὶ σχηματισμοῦ τῶν παθητικῶν λεκτέον.

Ενεστώς.

Ο ἐνεστὼς τοίνυν ἀπὸ τοῦ ὁριστικοῦ παθητικοῦ γίνεται

τέτυπα, ἐτετύπειν. πέπληγα, ἐπεπλήγειν. ἔσπορα, ἐσπόρειν.

Σχηματισμὸς τοῦ α, ἀορίστου.

Ο δὲ πρῶτος ἀόριστος ἀπὸ τοῦ μέλλοντος γίνεται, ἀμοιβῇ τοῦ ω, εἰς α, καὶ αὐξήσει ἢ χρονικῇ, ἢ συλλαβικῇ. οἷον, ἀκούσω, ἤκουσα. τύψω, ἔτυψα. φυλάττει δὲ ἀεὶ τὸ σύμφωνον τοῦ μέλλοντος. οἷον, λέξω, ἔλεξα. φράσω, ἔφρασα. πλὴν τοῦ εἶπα, καὶ ἤνεγκα ἐπὶ τῶν βαρυτόνων. καὶ πλὴν τοῦ ἔθηκα, ἧκα, ἔδωκα, ἐπὶ τῶν εἰς μι.

Περὶ τῆς παραληγούσης τῶν πρώτων ἀορίστων τῆς πέμπτης συζυγίας.

Σημείωσαι δὲ καὶ ὅτι οἱ πρῶτοι ἀόριστοι τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων μακρᾷ παραλήγουσι. καὶ εἰ μὲν ὁ μέλλων παραλήγει τῷ ε, προσλήψει τοῦ ι, ἐκτείνουσι τὴν παραλήγουσαν. οἷον, νεμῶ, ἔνειμα. σπερῶ, ἔσπειρα. εἰ δὲ τῷ α, τρέπουσιν αὐτὸ ὡς ἐπὶ τὸ πλεῖστον εἰς η. οἷον ψαλῶ, ἔψηλα. φανῶ, ἔφηνα. σημανῶ, ἐσήμηνα. ἐνίοτε δὲ φυλάττουσιν αὐτὸ μακρόν. οἷον, μιανῶ, ἐμίανα. χλιανῶ, ἐχλίανα.

Σχηματισμὸς τοῦ β΄ ἀορίστου.

Ο δὲ δεύτερος ἀόριστος λήγει μὲν εἰς ον, ἔχει δὲ πρὸ τῆς ον, ἀεὶ τὸ σύμφωνον τοῦ μέσου παρακειμένου. οἷον, τύπτω, τέτυπα, ἔτυπον. λείβω, λέλοιβα, ἔλιβον. ἀκούω, ἤκουα, ἤκουον. ἔχει δὲ καὶ βραχεῖαν τὴν παραλήγουσαν ὡς ἐπὶ τὸ πλεῖστον, εἰ ἀπὸ βαρυτόνου θέματος γίνοιτο. καὶ εἰ μὲν ὁ ἐνεστὼς τῇ ει, ἢ τῇ ευ, διφθόγγῳ παραλήγει ἐκβολῇ τοῦ ε, ὡς ἐπὶ τὸ πλεῖστον ὁ δεύτερος ἀόριστος ἐκφέρεται. οἷον, λείβω, ἔλιβον,

ου, λήγων, ὁ ἐνεστὼς, εἰς ξ, τὸν μέλλοντα σχηματίζει, ὁ μέσος παρακείμενος, τὸ γ, ἔχει, οἷον, κράζω, κράξω, κέκραγα. πλήσσω, ἢ πλήττω, ἢ πλήγω. πλήξω, πέπληγα. ἔχει δὲ τὴν αὐτὴν παραλήγουσαν. ὁ μέσος παρακείμενος τῷ ἐνεργητικῷ παρακειμένῳ. οἷον, τέτυφα, τέτυπα. πέπληχα, πέπληγα. πλὴν τῶν ἐχόντων ἤδη τοῦ μέλλοντος ἐν τῇ παραληγούσῃ τὸ ε, ἢ μόνον, ἢ μετὰ τοῦ ι, τότε γὰρ εἰς ο, αὐτὸ τρέπει, ὁ μέσος παρακείμενος. οἷον, φθερῶ, ἔφθορα. πείσω, πέποιθα. τέξω, τέτοκα. γενῶ, γέγονα. εἴξω, οἶκα. καὶ ἀττικῶς ἔοικα. εἰ δὲ ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγει. ὁ μέσος παρακείμενος ἐν τῇ παραληγούσῃ τὸ η, ἔχει. οἷον, φαίνω, πέφηνα. μαίνω, μέμηνα. χαίνω, κέχηνα. δαίω, δέδηα.

Περὶ τοῦ μέσου παρακειμένου τῶν προσωπωμένων.

Ιστέον δὲ ὅτι ἤδη τῶν προσωπωμένων ῥημάτων σπανίως εὕρηνται μέσοι παρακείμενοι, καὶ ἀόριστοι β΄ ὅτε δὲ εὑρεθῶσιν, ἐλαττοῦνται, ὁ μὲν τοῦ ἐνεργητικοῦ παρακειμένου, ὁ δὲ τοῦ πρώτου ἀορίστου μιᾷ συλλαβῇ. οἷον, δουπῶ, δεδούπηκα, δέδουπα. κτυπῶ, ἐκτύπηκα, ἔκτυπα. ἀναγῶ, ἠνώγηκα, ἤνωγα. μυκῶ, μεμύκηκα, μέμυκα. ὁμοίως δὲ καὶ τῶν τοῦ ἀορίστου, ἐδούπησα, ἔδουπον. ἐμύκησα, ἔμυκον. ἐλάκησα, ἔλακον.

Σχηματισμὸς τοῦ μέσου ὑπερσυντελίκου.

Ο δὲ μέσος ὑπερσυντέλικος ὁμοίως τῷ ἐνεργητικῷ ὑπερσυντελίκῳ ἀπὸ τοῦ ἰδίου παρακειμένου. οἷον,

η, συστέλλει τὴν παραλήγουσαν ἔθει ἰωνικῷ. οἷον, ἕστηκα, ἕσταα. βέβηκα, βέβαα. τέθνηκα, τέθναα. δέδοικα, δέδια. γέγηκα, γέγαα.

Σχηματισμὸς τοῦ ὑπερσυντελίκου.

Ο δὲ ὑπερσυντέλικος ἀπὸ τοῦ παρακειμένου γίνεται, τροπῇ τοῦ α, εἰς ειν, καὶ προσλήψει τῆς τοῦ ε, αὐξήσεως κατὰ τὴν ἀρχήν. εἰ ἀπὸ συμφώνου ὁ παρακείμενος ἄρχεται, τέτυφα, ἐτετύφειν. πέπλεχα, ἐπεπλέχειν,. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, οὐ δεῖ προσθήκης. οἷον, ἔψαλκα, ἐψάλκειν. ἠγάπηκα, ἠγαπήκειν.

Σχηματισμὸς τοῦ μέσου παρακειμένου.

Ο δὲ μέσος παρακείμενος ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου λαμβάνων πρὸ τοῦ α, τὸ σύμφωνον τοῦ ἐνεστῶτος. ἐὰν δὲ δύο σύμφωνα ἡ τοῦ ἐνεστῶτος, τὸ μᾶλλον χαρακτηριστικὸν τῆς συζυγίας. οἷον, λείβω, λέλοιβα. τύπτω, τέτυπα. εἰ μὲν τοι ὁ ἐνεστὼς λήγει εἰς ω, καθαρὸν, καὶ ὁ μέσος παρακείμενος ὁμοίως τὸ α, καθαρὸν ἔχει. οἷον, ἀκούω, ἤκουα. δεῖ μέν τοι εἰδέναι, ὡς ἐπί τινων τῶν ἐχόντων δύο σύμφωνα τοῦ ἐνεστῶτος. οὐ τὸ χαρακτηριστικὸν τῆς συζυγίας τοῦ ἐνεστῶτος ἀεὶ λαμβάνεται. ἀλλ' ἐνίοτε ἢ τὸ ἀντιστοιχοῦν αὐτῷ δασὺ, ἢ καὶ τὸ μέσον. ὡς ἐπὶ τοῦ σκάπτω, ἔσκαφα. βλάπτω, βέβλαβα. ἂν δὲ εἰς ζω, λήγων ὁ ἐνεστὼς, εἰς σ, τὸν μέλλοντα ποιεῖ, ὁ μέσος παρακείμενος πρὸ τοῦ α, τὸ δ, ἔχει. οἷον, φράζω, φράσω, πέφραδα. εἰ δὲ εἰς ζω, ἢ εἰς δύο

θέασιν ἐπί τε τοῦ παρατατικοῦ, καὶ παρακειμένου, καὶ ἀορίστου. οἷον, ὁρῶ, ἑώρων, ἑώρακα. ὠνοῦμαι, ὠνούμην, καὶ ἐωνούμην. ὤνημαι, ἐώνημαι. ὦσμαι, ἔωσμαι. ὠσάμην, ἐωσάμην. ἄνωγα, ἀνέωγα. ὁμοίως δὲ τούτοις, καὶ τὸ οἶκα, ἔοικα. ἔνια γε μὴν τούτων οὐ συστέλλουσι τὴν παραλήγουσαν. οἷον, ἄρηρα, ἐλήλα. ἀλάλημαι, ἀλήλειμμαι.

Ἔτι ἰστέον, ὅτι τῶν τῆς πέμπτης συζυγίας ῥημάτων, τὰ εἰς λ, ἢ εἰς ρ, λήγοντα φυλάττουσιν αὐτὸ ἐπὶ τοῦ παρακειμένου. οἷον, ψάλλω, ψαλῶ, ἔψαλκα. σπείρω, σπερῶ, ἔσπαρκα. Τὰ δὲ ἔχοντα τὸ μ, ἐπὶ τῆς ἐσχάτης συλλαβῆς ἐντιθέμενα τοῦ η, μεταξὺ τοῦ μ, καὶ κ, τὸν παρακείμενον ποιοῦσιν. οἷον, νέμω, νεμῶ, νενέμηκα. τέμνω, τεμῶ, τετέμηκα, καὶ κατὰ συγκοπὴν, τέτμηκα, διὰ γὰρ τὸ ἀσύντακτον εἶναι τὸ μ, τῷ κ, παρένθεσις τοῦ η, μεταξὺ τούτων, ἐγένετο. ὁμοίως δὲ καὶ τὰ εἰς νω, λήγοντα ἐκβάλλει τὸ ν, ἐπὶ τοῦ παρακειμένου. οἷον, τὰ ἔχοντα ἐπὶ τῆς παραληγούσης τὸ ι, ἢ τὴν ει δίφθογγον. οἷον κρίνω, κρινῶ, κέκρικα. κτείνω, κτενῶ, ἔκτακα. πλὴν τῶν πρὸ τοῦ νω, ἐχόντων ἐν τῇ παραληγούσῃ τὴν αι δίφθογγον, καὶ τινῶν τῷ υ ψιλῷ παραληγόντων. ταῦτα γὰρ φυλάττοντα τὸ ν, τρέπουσιν αὐτὸ ἐπὶ τοῦ παρακειμένου εἰς γ. οἷον, μιαίνω, μιανῶ, μεμίαγκα. μολύνω, μολυνῶ, μεμόλυγκα. καθόλου γὰρ τὸ ν, πρὸ τοῦ γ, ἢ κ, ἢ χ, εἰς γ, τρέπεται. οἷον, καταλείπω, ἐγκαταλείπω. γίνομαι, ἐγγίνομαι. χέω, συγχέω. ἔτι σημειωτέον, ὅτι ὁ παρακείμενος εἰς κα, λήγων μακρὰν ἔχει τὴν παραλήγουσαν, εἰ ἐκβάλλει τὸ

της συζυγίας δισυλλάβων ἐχόντων καὶ αὐτῶν ἐν τῇ παραληγούσῃ τὸ ε, συλλαβιζόμενον τῷ ρ, μετὰ τοῦ τ, τούτων γὰρ τὸ ε, ἐπὶ τοῦ παρακειμένου τρέπεται εἰς α, οἷον, σπείρω, ἔσπαρκα. κείρω, κερῶ, κέκαρκα. στέλλω, στελῶ, ἔσταλκα. στρέφω, στρέψω, ἔστραφα. τρέπω, τρέψω, τέτραφα. τρέφω, θρέψω, τέτραφα. οἱ δὲ ἀττικοὶ ἐπ' ἐνίων δισυλλάβων τῆς πρώτης, καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων τρέπουσι τὸ ε, εἰς ο. οἷον, κλέπτω, κλέψω, κέκλωφα. πέμπω, πέμψω, πέπομφα. λέγω, λέξω, λέλοχα. βρέχω, βρέξω, βέβροχα. ἐνέκω, ἐνέξω, ἤνοχα. τῶν αὐτῶν δέ ἐστι, καὶ τὸ ἔνια τῶν ἀρχομένων ἀπὸ τοῦ λ, ἢ τοῦ μ, ποιεῖν ἴδιον παρακείμενον ἐκβολῇ δηλονότι τοῦ κατὰ ἀναδιπλασιασμὸν συμφώνου, καὶ παρενθέσει τοῦ ι. οἷον λήβω, λήψω, λέληφα, κοινῶς, καὶ εἴληφα ἀττικῶς, λήχω, λήξω, λέληχα, καὶ εἴληχα. λέγω, λέξω, λέλοχα, καὶ εἴλοχα. μείρομαι, μεροῦμαι, μέμαρμαι, καὶ εἵμαρμαι. ὅθεν εἱμαρμένη.

Περὶ σχηματισμοῦ τοῦ ἀττικοῦ παρακειμένου.

Ετι ἰστέον, ὡς οἱ ἀττικοὶ ἴδιον παρακείμενον, ποιοῦσιν ἐπὶ τῶν ῥημάτων τῶν ἀρχομένων ἀπὸ τοῦ α, ἢ τοῦ ε, ἢ τοῦ ο μικροῦ. τούτων γὰρ τῷ κοινῷ παρακειμένῳ τὰ ἀρκτικὰ δύο τοῦ ἐνεστῶτος γράμματα προστιθέντες, καὶ τὴν τρίτην συστέλλοντες συλλαβὴν, ἴδιον παρακείμενον ποιοῦσιν. οἷον ἐλεύθω, ἤλευθα, ἐλήλυθα. ἀκούω, ἤκουα, ἀκήκοα. ἀλείφω, ἤλειφα, καὶ ἀλήλειφα. ὀρύσσω. ὤρυχα. ὀρώρυχα, ἔνιοι δὲ τῶν ἀπὸ τοῦ ο, ἀρχομένων τὸ ε, μόνον προστι-

Ο δὲ παρακείμενος ἀπὸ τοῦ μέλλοντος γίνεται τροπῇ, τοῦ ω, εἰς α, καὶ εἰ μὲν ὁ μέλλων τὸ ψ, πρὸ τοῦ ω, ἔχει, ὁ παρακείμενος τὸ φ, ἔχει. οἷον, τύψω, τέτυφα. εἰ δὲ ὁ μέλλων τὸ ξ, ὁ παρακείμενος τὸ χ, οἷον, λέξω, λέλεχα. εἰ δὲ ὁ μέλλων τὸ σ, ἤ ἕν τι τῶν τεσσάρων ἀμεταβόλων, ὁ παρακείμενος τὸ κ. οἷον, πλήσω, πέπληκα. κρίνω, κέκρικα. εἰ δὲ ὁ παρατατικὸς αὔξεται συλλαβικῶς, καὶ βραχεῖαν ἔχει τὴν αὔξησιν, ἢ κοινήν, τότε ὁ παρακείμενος προσλαμβάνει καὶ τὸ τοῦ ἐνεστῶτος ἀρκτικὸν σύμφωνον. οἷον, τύπτω, ἔτυπτον, τέτυφα. γράφω, ἔγραφον. γέγραφα. πλὴν τῶν ἀρχομένων ῥημάτων ἀπὸ τοῦ γνω, καὶ γρη. οἷον, γνωρίζω, ἐγνώριζον, ἐγνώρικα. γρηγορῶ, ἐγρηγόρουν ἐγρηγόρηκα. καὶ ἔτι τῶν ἀπὸ τοῦ ρ, ἀρχομένων. οἷον, ῥίπτω, ἔῤῥιπτον, ἔῤῥιφα. εἰ δὲ ὁ παρατατικὸς ἔχει τὴν ἄρχουσαν θέσει μακράν, καὶ ὁ παρακείμενος ἀπὸ τῆς αὐτῆς ἄρχεται. οἷον, ἔσπειρον, ἔσπαρκα. ἔψαλον, ἔψαλκα. ἐφ' ὧν δὲ ῥημάτων ἔστι κατὰ τὴν ἀρχὴν δασύ, τὸ ὁ αὐτὸ προσλαμβάνει ὁ παρακείμενος, ἀλλὰ τὸ ἀντιστοιχοῦν αὐτῷ ψιλόν. οἷον, φράζω, φράξω, πέφρακα. χωρίζω, κεχώρικα. θηρεύω, τεθήρευκα. παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι. οἷον, τύψω, τέτυφα. γράψω, γέγραφα. ποιήσω, πεποίηκα. πλὴν τῶν δισυλλάβων ῥημάτων τῶν πέμπτης συζυγίας τῷ ε, παραληγόντων. καὶ ἔτι τῶν τῆς πρώ-

Ἔτι τὰ εἰς ιζω, ῥήματα ὑπὲρ δισύλλαβα, ἔχοντα τὸ ι, ἐν τῇ παραληγούσῃ, ἴδιον οἱ ἀττικοὶ μέλλοντα ποιοῦσι περισπώμενον, ἀπὸ τοῦ κοινοῦ μέλλοντος ἐκβολῇ τοῦ σ. οἷον, νομίζω, νομίσω, καὶ νομιῶ, ἀττικῶς. βαδίζω, βαδίσω, καὶ βαδιῶ. ἀγωνίζομαι, ἀγωνίσομαι, καὶ ἀγωνιοῦμαι. τὸ δὲ αὔξω, καὶ ἀλέξω, καὶ ἕψω, οὐκ εἰσὶ μέλλοντες, ἀλλ' ἐνεστῶτες ἐκ πάθους ἀπὸ τοῦ αὐξέω. ἀλεξέω. ἑψέω. ἀφ' ὧν καὶ οἱ μέλλοντες ἐν χρήσει εἰσὶν ἑψήσω. αὐξήσω, ἀλεξύσω.

Σχηματισμὸς τοῦ μέλλοντος τῶν εἰς εω δισυλλάβων.

Ἔτι τὰ εἰς εω δισύλλαβα ῥήματα ὡς ἐπὶ τὸ πλεῖστον τὸ υ, προσλαμβάνοντα, τὸν μέλλοντα ποιοῦσιν. οἷον, πλέω, πλεύσω. ῥέω, ῥεύσω. νέω, νεύσω. πνέω, πνεύσω. οἷς ἠκολούθησε, καὶ τὸ κάω, καύσω. κλάω κλαύσω. ἅπερ ἐπὶ τοῦ ἐνεστῶτος καὶ κλαίω, καὶ καίω λέγονται. τούτων δὲ τὰ πρῶτα πρόσωπα ἐπὶ τοῦ ὁριστικοῦ ἐνεστῶτος, καὶ παρατατικοῦ, καὶ ἔτι τὰ τρίτα τῶν πληθυντικῶν οὐ συναιροῦνται. Τὰ δὲ ἄλλα συναίρεσιν ἐπιδέχεται. οἷον, πλέω, πλέεις, πλεῖς. πλέει, πλέετον, πλεῖτον. πλέετον, πλεῖτον. πλέομεν, πλέετε, πλεῖτε, πλέουσιν. ἔπλεον, ἔπλεες, ἔπλεις. ἔπλεε, ἔπλει. ἐπλέετον, εἶτον. ἐπλεέτην, είτην. ἐπλέομεν. ἐπλέετε, εἶτε, ἔπλεον. ὡσαύτως δὲ καὶ τὰ εὐκτικὰ, καὶ ὑποτακτικὰ τούτων οὐ συναιροῦνται ὅλως. οἷον, πλέοιμι, πλέοις, πλέοι, ἐὰν πλέω, πλέῃς, πλέῃ.

Σχηματισμὸς τοῦ μέλλοντος.

Ο δὲ μέλλων λήγει μὲν εἰς ω, καὶ συνάρχεται τῷ ἐνεστῶτι, ἔχει δὲ πρὸ τοῦ ω, ἢ τὸ ψ, ἢ τὸ ξ, ἢ τὸ σ, ἢ ἓν τι τῶν τεσσάρων ἀμεταβόλων. διὸ καὶ τὰ μὲν τῆς πρώτης συζυγίας τῶν βαρυτόνων ἀεὶ τὸ ψ, ἔχουσιν ἐπὶ τοῦ μέλλοντος. οἷον, τύπτω, ψω. τὰ δὲ τῆς δευτέρας, καὶ ἔτι τῶν τῆς τετάρτης ἔνια τὸ ξ. οἷον, λέγω, λέξω. πράττω, πράξω. κράζω, κράξω. τὰ δὲ τῆς τρίτης καὶ τῆς ἕκτης τὸ σ. οἷον, πλήθω, πλήσω. βασιλεύω, βασιλεύσω. τὰ δὲ τῆς πέμπτης φυλάττει τὸ αὐτὸ ἀμετάβολον ἐπὶ τοῦ μέλλοντος. οἷον, ψάλλω, ψαλῶ. κρίνω, κρινῶ.

Δ εἰ δὲ εἰδέναι ὅτι τὰ εἰς ζω, λήγοντα ῥήματα ὡς ἐπὶ τὸ πλεῖστον εἰς σω, τὸν μέλλοντα ποιοῦσιν. οἷον, ὁρίζω, ὁρίσω. βαδίζω, βαδίσω. φράζω, φράσω. κτίζω, κτίσω. πλὴν τοῦ οἰμώζω, οἰμώξω. στηρίζω, στηρίξω. αἰάζω, αἰάξω. στενάζω, στενάξω. ὀλολύζω, ὀλολύξω. ἀλαπάζω, ἀλαπάξω. θρυλλίζω, θρυλλίξω. κρώζω, κρώξω. παίζω, παίξω, καὶ παίσω ἀττικῶς. σφάζω, σφάξω. σίζω, σίξω. τρύζω, τρύξω. ῥέζω, ῥέξω.

Τ ὰ δὲ εἰς σσω λήγοντα διὰ δύο σς, ἢ δύο ττ, ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τοῦ μέλλοντος τὸ ξ, ἔχουσιν. οἷον, ὀρύσσω, ἢ ὀρύττω, καὶ ὀρύγω κατὰ τοὺς παλαιούς, ὀρύξω. πράττω, πράξω. πλὴν τοῦ πλάττω, πλάσσω. ἐρέσσω, ἐρέσω. ἱμάσσω, ἱμάσω. ἰνάσσω, ἰνάσω, πάσσω, πάσω. λάσσω, λάσω. λεύσσω, λεύσω.

Σχηματισμὸς μέλλοντος τῶν εἰς ζω, ῥημάτων κατὰ τοὺς ἀττικούς.

βούλομαι. οὐ μὴν ἀλλὰ καὶ τούτων ἔνια ἔνδοθεν ποιοῦνται τὴν αὔξησιν. οἷον, ἀπελαύνω, ἀπέλαυνον, καὶ ἀπήλαυνον ἀττικῶς. ἐπιχειρῶ, ἐπεχείρουν. ἐγχειρῶ, ἐνεχείρουν. ἐγκωμιάζω, ἐνεκωμίαζον. ἐνθυμοῦμαι, ἐνεθυμούμην. προσδοκῶ, προσεδόκων, καί τινα τῶν ἀπὸ τοῦ ευ, καὶ δυς, συγκειμένων. οἷον, δυσαρεστῶ, δυσαρέστουν. εὐορκῶ, εὐώρκουν. εὐεργετῶ, εὐηργέτουν. εὐαγγελίζομαι, εὐηγγελιζόμην.

Ποῖα τῶν ῥημάτων διπλῆν ἔχουσι τὴν αὔξησιν.

Ιστέον δὲ ὡς ἐπί τινων ῥημάτων, οἱ ἀττικοὶ διπλῆν ποιοῦνται τὴν αὔξησιν. οἷον, ἐνοχλῶ, ἠνώχλουν. ἀνορθῶ, ἠνώρθουν. ἀνέχομαι, ἠνειχόμην. παροινῶ, πεπαρῴνηκα. δύναμαι, ἠδυνάμην. βούλομαι, ἐβουλήθην.

Περὶ αὐξήσεως συλλαβικῆς.

Τὰ δὲ ἀπὸ συμφώνου ἀρχόμενα συλλαβικῶς αὔξεται. προστιθεμένου τοῦ ε κατὰ τὴν ἀρχὴν τῶν παρῳχημένων ἐπί τε τοῦ παρατατικοῦ, καὶ τῶν ἀορίστων. οἷον, τύπτω, ἔτυπτον, ἔτυψα.

Περὶ σχηματισμοῦ τῶν χρόνων.

Τῶν δὲ χρόνων σχηματισμοὶ τῶν μὲν ἐνεργητικῶν τοιοῦτοί εἰσιν.

Σχηματισμὸς τοῦ παρατατικοῦ.

Ὁ παρατατικὸς ἀπὸ τοῦ ἐνεστῶτος γίνεται, μεταποιήσει τῆς ἐσχάτης εἰς ον, καὶ προσλήψει τῆς συλλαβικῆς αὐξήσεως, ἢ χρονικῆς κατὰ τὴν ἀρχήν. οἷον, τύπτω, ἔτυπτον. ἀγαπῶ, ἠγάπων.

χῆν. οἷον, καθεύδω, ἐκάθευδον. καθαίρω, ἐκάθαιρον. ἐνέπω, ἤνεπον. ὅτε δὲ πλέον τι τοῦ καθ' αὑτὸ ῥήματος σημαίνει, ἔνδοθεν ἡ αὔξησις γίνεται μεταξὺ τῆς προθέσεως, καὶ τοῦ ῥήματος. οἷον, παρακούω παρήκουον. ἐπομνύω, ἐπώμνυον. καταγράφω, κατέγραφον,

Ἐν δὲ τοῖς ῥήμασι, τοῖς ἀπὸ προθέσεως συνθέτοις, εἰδέναι δεῖ, ὅτι συντεθειμένη μὲν ἡ πρόθεσις τοῖς ῥήμασι, τοῖς ἀπὸ συμφώνου ἀρχομένοις φυλάττει τὸ ἴδιον αὐτῆς φωνῆεν. οἷον, καταγράφω. ἐπιτάττω. συντεθειμένη δὲ τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις, ἀποβάλλει αὐτό. οἷον, παρακούω. ἐπομνύω. κατέρχομαι. διὸ καὶ ἐν τοῖς παρῳχημένοις τῶν ἀπὸ συμφώνου ἀρχομένων ῥημάτων, ἐφ' ὧν ἡ συλλαβικὴ αὔξησις τοῦ ε, γίνεται, ὁμοίως ἐκβάλλεται τὸ φωνῆεν τῆς προθέσεως. οἷον, κατέγραφον. παρέμενον. ἐπέταττον. εἰ δὲ τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ῥήματα δασύνονται, τηνικαῦτα καὶ τὸ ψιλὸν τῆς προθέσεως τρέπεται εἰς τὸ οἰκεῖον δασύ. οἷον, καθεύδω. ὑφίστημι. ἡ γε μὴν περὶ, καὶ ἡ πρὸ, προθέσεις συντιθέμεναι τῶν ῥημάτων τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις, οὐκ ἀποβάλλουσι τὸ ἑαυτῶν φωνῆεν. οἷον, περιάγω, περίηγον. προέρχομαι, προηρχόμην. ἐὰν μέντοι τινὰ τῶν ῥημάτων σύνθετα εὑρίσκονται ἐν χρήσει, ἁπλᾶ δὲ μὴ, τούτων ἡ αὔξησις ὡς τὰ πολλὰ κατὰ τὴν ἀρχὴν γίνεται. οἷον. ἀμφισβητῶ ἠμφισβήτουν. ἀντιβολῶ, ἠντι-

σα. ἔτι τὰ ἀπὸ τῆς οι διφθόγγου ἀρχόμενα, τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, καὶ περιγραφομένου τοῦ ι, αὐξάνονται ἐπὶ τῶν παρῳχημένων. οἷον, οἴχομαι ᾠχόμην. ᾤχηκα. ᾠχήκειν. πλὴν τοῦ οἴομαι. οἰώθη. οἰμῶ, οἴμησα. οἰνῶ, οἰνίζω. οἰστρῶ. οἰωνίζομαι. οἰανοσκοπῶ. οἰωνοπλῶ. οἰακίζω. οἰακονομῶ. οἰακοστροφῶ, ἃ δὴ σεσημείωται, τὴν οι δίφθογγον ἄτρεπτον ἔχοντα ἐπὶ τῶν παρῳχημένων. ἔνια δὲ τῶν ἀρχομένων ἀπὸ τοῦ ευ, αὐξάνονται καὶ αὐτὰ χρονικῶς ἐπὶ τῶν παρῳχημένων ἀπλικῶς. οἷον, εὔχομαι, ηὐχόμην.

Ποῖα τῶν ῥημάτων ἐκ ἐπιδέχονται αὔξησιν.

Τὰ δὲ ἀπὸ τῆς ε, καὶ ι, διφθόγγου ἀρχόμενα, ἢ ἀπὸ τῆς ου, οὐδεμίαν αὔξησιν λαμβάνουσιν ἐπὶ τῶν παρῳχημένων. οἷον, εἴργω, εἶργον, εἶρξα. οὐρῶ, οὔρουν. ὡσαύτως δὲ καὶ τὰ ἀρχόμενα ἀπὸ τοῦ η, ἢ ω μεγάλου, ἢ ι, ἢ τοῦ υ ψιλοῦ. οὐδ᾽ ὅλως αὐξάνονται ἐπὶ τῶν παρῳχημένων. οἷον, ἠχῶ, ἤχουν, ἤχηκα, ἠχήκειν, ἤχησα. ὠφελῶ, ὠφέλουν, ὠφέληκα, ὠφελήκειν, ὠφέλησα. ἱδρύω, ἵδρυον, ἵδρυκα, ἱδρύκειν, ἵδρυσα. ὑβρίζω, ὕβριζον, ὕβρικα, ὑβρίκειν, ὕβρισα. διὸ καὶ ἀμετάβολα λέγονται, ὡς μὴ μεταβάλλοντα ἐν τοῖς παρῳχημένοις.

Πῶς τὰ σύνθετα ῥήματα αὐξάνονται.

Τὰ δὲ σύνθετα ῥήματα ἐκ προθέσεων, ὅτε μὲν ἡ πρόθεσις οὐδὲν πλέον τῇ σημασίᾳ τοῦ ῥήματος, προσίθησι, λαμβάνουσιν τὴν αὔξησιν κατὰ τὴν ἀρ-

ΕΚ ΤΩΝ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΧΑΛΚΟΝΔΥΛΟΥ.

Περὶ τῆς αὐξήσεως τῶν παρῳχημένων τῆς τε συλλαβικῆς, καὶ χρονικῆς.

Ἡ δὲ τῶν παρῳχημένων αὔξησις, ὧδ' ἂν θεωροῖτο. ἔστι γὰρ, ἡ μὲν συλλαβικὴ. οἷον, τύπτω, ἔτυπτον. ἡ δὲ χρονικὴ. οἷον, ἀγαπῶ, ἠγάπων.

Περὶ αὐξήσεως χρονικῆς.

Τῶν οὖν ῥημάτων, τὰ μὲν ἀρχόμενα ἀπὸ φωνηέντων, τοῦ α, ε, ο, μικροῦ ἐπὶ τῶν παρῳχημένων αὐξάνονται χρονικῶς, καὶ τὸ μὲν α, εἰς η, τρέπεται ἐπὶ παντὸς παρῳχημένου. οἷον, ἀγαπῶ, ἠγάπων. ἠγάπηκα, ἠγαπήκειν, ἠγάπησα. ὁμοίως δὲ καὶ τὸ ε εἰς η. οἷον, ἐρίζω, ἤριζον. πλὴν δεκατεσσάρων τινῶν ἐφ' ὧν τὸ ε, προσλαμβάνει τὸ ι. οἷον, ἔχω, εἶχον. ἔπω, εἶπον. ἕλω, εἷλον. ἕπομαι, εἱπόμην. ἑστήκω, εἱστήκειν. ἑστιῶ, εἱστίων. ἐῶ, εἴων. ἑρπύζω, εἵρπυζον. ἕλκω, εἷλκον. ἑλκύω, εἵλκυον. ἕρπω, εἷρπον. ἐρύω, εἴρυον. ἐθίζω, εἴθιζον. ἔθω, εἴωθα. ἕω, εἷμαι. ἐργάζομαι, εἰργαζόμην. Τὸ δὲ ο μικρὸν τρέπεται εἰς ω μέγα. οἷον ὁρίζω, ὥριζον. ὡσαύτως δὲ καὶ τὰ ἀρχόμενα ἀπὸ τῆς αι, ἢ αυ, διφθόγγου χρονικῶς αὐξάνονται ἐπὶ πάντων τῶν παρῳχημένων, τροπῇ τοῦ α, εἰς η, καὶ τοῦ ι, προσγραφομένου. οἷον, αἰδοῦμαι, ᾐδούμην. ᾐδέσθην. αὔξω, ηὖξον, ηὔξηκα, ηὐξήκειν, ηὔξη-

δεύτερος ἔφυν ἀπὸ τοῦ φῦμι.

Αρχὴ τοῦ χ.

Χ άσκω, ὁ μέλλων, χανοῦμαι. ὁ μέσος παρακείμενος, κέχηνα. ὁ δεύτερος ἀόριστος ἔχανον ἀπὸ τοῦ χαίνω ἀρχῆς ου.

Χ αίρω. μέλλων, χαιρήσομαι, καὶ χαρήσομαι. ἀπὸ τοῦ χαρέω ἀρχῆς ου. ὁ β΄. ἀόριστος, ἐχάρην.

Χ αλεπαίνω. μέλλων, χαλεπανῶ. ἀόριστος, ἐχαλέπηνα.

Χ έω. μέλλων, χεύσω. ἀπὸ τοῦ χεύω. ἀόριστος α΄, ἔχεα. τὸ ἀπαρέμφατον, χέαι.

Χ ρωννύω, καὶ χρώννυμι. μέλλων, χρώσω. ὁ παθητικὸς παρακείμενος, κέχρωσμαι, ἀπὸ τοῦ, χρώω, ἀρχῆς ου.

Χ ύω, καὶ χύνω. μέλλων, χύσω.

Χ ωννύω, καὶ χώννυμι. μέλλων, χώσω. ἀπὸ τοῦ χώω, ἀρχῆς ου.

Αρχὴ τοῦ ω.

Ω θω, καὶ ὠθέω, ῶ. μέλλων, ὤσω, καὶ ὠθήσω. ὁ ἀόριστος α΄, ἔωσα. ὅθεν τὸ ἀπέωσα. ὁ παθητικὸς παρακείμενος, ἔωσμαι.

Ω νέομαι, οῦμαι. ὁ παρατατικὸς, ἐωνούμην. ὁ μέλλων ὠνήσομαι. ὁ παρακείμενος, ὤνημαι. καὶ ἐώνημαι ἀττικῶς. ὅθεν ἐωνημένος.

Ω ρσα, ἀπὸ τοῦ ὀρέω. μέλλων, ὀρέσω. ἀόριστος α΄, ὤρεσα, καὶ κατὰ συγκοπὴν, ὦρσα, ἢ ὄρω, ὄρσω, ὦρσα αἰολικῶς.

Τ υγχάνω, ἐτύγχανον. μέλλων, τεύξομαι, ἀπὸ τοῦ τεύχω, ἀχρήστου ἐν πεζῷ λόγῳ. παρακείμενος, τετύχηκα. ἀπὸ τοῦ τυχέω, ῶ. ἀχρήστου. ὁ ἀόριστος δεύτερος, ἔτυχον.

Αρχὴ τοῦ υ.

Υ πισχνοῦμαι. ὁ μέλλων, ὑποστήσομαι, ἢ ὑποσχήσομαι. ὁ παρακείμενος, ὑπέσχημαι. ὁ ἀόριστος ά, ὑπεσχέθην. ὁ μέσος ἀόριστος β΄, ὑπεσχόμην, ἀπὸ τοῦ ὑποσχέομαι ἀχρήστου.

Υ ποστερίσκω. μέλλων, ὑποστερήσω,

Υ πνώττω. μέλλων, ὑπνώσω.

Αρχὴ τοῦ φ.

Φ άσκω. παρατατικὸς ἔφασκον, καὶ πλέον οὔ.

Φ εύγω. ὁ μέλλων, φεύξομαι καὶ φευξοῦμαι. ὁ μέσος παρακείμενος, πέφευγα. ἀόριστος δεύτερος, ἔφυγον.

Φ έρω. μέλλων, οἴσω, ἀπὸ τοῦ οἴω ἀχρήστου. παρακείμενος, ἐνήνοχα. ἀόριστος ά, ἤνεγκα. ἀόριστος δεύτερος, ἤνεγκον, ἀπὸ τοῦ ἐνέγκω, ἀχρήστου.

Φ ημί. φής. φησί. φατὸν. φατὸν. φαμὲν. φατέ. φασί. μέλλων, φήσω ἀόριστος ά, ἔφησα. ἀόριστος β, ἔφην, τὸ ἀπαρέμφατον, φάναι.

Φ θάνω, ἔφθανον. μέλλων, φθάσω, ἀπὸ τοῦ φθάω, ῶ. παρακείμενος, ἔφθακα. ἀόριστος πρῶτος, ἔφθασα. ἀόριστος β΄, ἔφθην, ἀπὸ τοῦ φθάσω, φθῆμι. ἡ μετοχὴ. ὁ φθὰς.

Φ θίνω. μέλλων, φθίσω, ἀπὸ τοῦ φθίω, ἀχρήστου.

Φ οινίκω, καὶ φοινίζω. μέλλων, φοινίξω.

Φ ύω. μέλλων φύσω. παρακείμενος, πέφυκα. ἀόριστος

Σ τρώννύω καὶ στρώννυμι. μέλλων στρώσω. ἀπὸ τοῦ στρόω ἀχρήστου, ἀόριστος α΄, ἔστρωσα.

Αρχὴ τοῦ Τ.

Τ άζω. μέλλων τάξω. ἀόριστος δεύτερος, ἔταγον, καὶ κατὰ ἀναδιπλασιασμὸν ἐτέταγον. ἡ μετοχὴ ὁ τεταγών.

Τ ίκτω. ὁ μέλλων, τέξω. ὁ μέσος παρακείμενος, τέτοκα. ὁ ἀόριστος δεύτερος, ἔτεκον. ἀπὸ τοῦ τέκω ἀχρήστου.

Τ ιτρώσκω, ἐτίτρωσκον. μέλλων, τρώσω. ἀόριστος α΄, ἔτρωσα. παρακείμενος, τέτρωκα. ἀπὸ τοῦ τρόω, ῶ. ἀχρήστου.

Τ ίνω, καὶ τίω. μέλλων, τίσω.

Τ λάω, ῶ. μέλλων, τλήσω. ἀόριστος β΄, ἔτλην. ἀπὸ τοῦ τλῆμι.

Τ ιτράω. ὅθεν τὸ διατράω. ὁ μέλλων, τρήσω, ἀπὸ τοῦ τράω.

Τ ρέχω. ὁ μέλλων, θρέξω, καὶ δραμοῦμαι. ὁ παρακείμενος, δεδράμηκα, ἀπὸ τοῦ δραμέω ἀχρήστου. ὁ δεύτερος ἀόριστος, ἔδραμον, ἀπὸ τοῦ δρέμω, ἀχρήστου.

Τ ρώγω, καὶ ἀντὶ τοῦ μέλλοντος φάγομαι μὴ ἔχον τὸν τοῦ μέλλοντος σχηματισμόν. ὁ μέλλων, φαγοῦμαι. ὁ δεύτερος ἀόριστος, ἔφαγον. ἀπὸ τοῦ φάγω, ἀχρήστου.

Τ ρέφω. μέλλων θρέψω, πρὸς ἀντιδιαστολὴν τοῦ τρέψω. ἀόριστος α΄, ἔθρεψα. ὁ μέσος παρακείμενος, τέτροφα. ὁ παρακείμενος παθητικὸς τέθραμμαι. ὁ δεύτερος ἀόριστος, ἐτράφην.

Π ίπτω. ὁ μέλλων, πεσοῦμαι. ὁ παρακείμενος, πέπτωκα. ἀπὸ τοῦ πτόω ἀχρήστου. ὁ β΄. ἀόριστος, ἔπεσον, ἀπὸ τοῦ πέτω, ἀχρήστου.

Π έρθω. ἀόριστος δεύτερος, ἔπραθον.

Π υνθάνομαι. μέλλων, πεύσομαι ἀπὸ τοῦ πεύθομαι ἀχρήστου ἐν πεζῷ λόγῳ.

Αρχὴ τοῦ ρ.

Ρ έω. μέλλων, ῥεύσω. καὶ ῥυήσω. ὁ π. ἐῤῥύηκα. ὁ β΄. ἀόριστος, ἐῤῥύην. ἀπὸ τοῦ ῥυέω, ἀχρήστου.

Ρ ηγνύω, καὶ ῥήγνυμι. ὁ μέλλων, ῥήξω. ὁ μέσος παρακείμενος, ἔῤῥωγα. ὁ δεύτερος ἀόριστος, ἐῤῥάγην.

Ρ ωννύω, καὶ ῥώννυμι. ὁ μέλλων, ῥώσω.

Ρ ωννύομαι. μέλλων, ῥώσομαι. παρακείμενος, ἔῤῥωμαι, ἔῤῥωσαι, ἔῤῥωται. προστακτικὸν, ἔῤῥωσο, ἐῤῥώσθω, ἔῤῥωσθε, ἐῤῥώσθωσαν.

Αρχὴ τοῦ σ.

Σ βεννύω, καὶ σβέννυμι. ὁ μέλλων, βέσω, καὶ σβήσομαι. ἀόριστος β΄. ἔσβην, ἀπὸ τοῦ σβέω, σβῆμι ἀχρήστου.

Σ εύομαι. ἀόριστος, ἔσσυα. ὁ παθητικὸς, ἐσύθην. ὁ παρακείμενος, ἔσσυμαι.

Σ πένδω. μέλλων, σπείσω, ἀπὸ τοῦ σπείδω, ἀχρήστου. ἀόριστος α΄, ἔσπεισα.

Σ τάζω, καὶ σταλάζω. μέλλων, στάξω.

Σ τένω, καὶ στενάζω. μέλλων, στενάξω.

Σ τίζω. μέλλων, στίξω.

Σ τορεννύω, καὶ στορέννυμι. ὁ μέλλων, στορέσω, ἀπὸ τοῦ στορέω ἀχρήστου. ἀόριστος α΄, ἐστόρεσα.

Ο φείλω. μέλλων, ὀφειλήσω ἀπὸ τοῦ ὀφειλέω ἀχρήστου, καὶ ὄφλω, ὀφλήσω, κατὰ συγκοπὴν, παρακείμενος, ὤφληκα. ἀόριστος, ὄφληκα, ὁ δεύτερος ἀόριστος, ὤφελον, καὶ κατὰ συγκοπὴν, ὦφλον.

Αρχὴ τοῦ π.

Π άχω, ἔπαχον, ὁ μέλλων πείσομαι ἀπὸ τοῦ πείθω, ὁ μέσος παρακείμενος, πέποιθα, ἀπὸ τοῦ πένθω ἀχρήστου. ἀόριστος δεύτερος, ἔπαθον ἀπὸ τοῦ πήθω ἀχρήστου.

Π έμπω. ὁ μέλλων, πέμψω. ὁ παρακείμενος πέπομφα. ἀόριστος α΄, ἐπέμφθην.

Π ετανύω. ὁ μέλλων, πετάσω. ὁ παρακείμενος, πεπέτακα, καὶ κατὰ συγκοπὴν, πέπτακα. ὅθεν ὁ παθητικὸς παρακείμενος, πέπταμαι, ἀπὸ τοῦ πετάω ἀχρήστου.

Π έπω, καὶ πέσσω, καὶ πέπτω ποιητικῶς. μέλλων, πέψω.

Π άομαι, ῶμαι. μέλλων, πάσομαι. παρακείμενος, πέπαμαι.

Π είρω. μέλλων. περῶ. ἀόριστος α΄, ἔπειρα.

Π έφρικα, ἀπὸ τοῦ φρίσσω. μέλλων, φρίξω. ὁ παρακείμενος ἡμαρτημένος, πέφρικα.

Π ηγνύω, καὶ πήγνυμι. ὁ μέλλων, πήξω. ὁ μέσος ἀόριστος, ἐπάγην, ἀπὸ τοῦ πήγω.

Π ίνω, ἔπινον, πίομαι, ἀντὶ τοῦ μέλλοντος κἂν μὴ μέλλοντος ἔχει σχηματισμόν. ὁ παρακείμενος, πέπωκα, ὁ παθητικὸς πέπομαι ἀπὸ τοῦ πόω, τῶ ἀχρήστου. ὁ β΄, ἀόριστος ἔπιον.

πίπτω

Μ ἐμνήμαι, ἀπὸ τοῦ μνάομαι, ὁ ὑπερσυντέλικος, ἐμεμνήμην, ὁ ἀόριστος α΄, ἐμνήσθην, ὁ μέλλων α΄, μνησθήσομαι.

Μ ενύω. ὁ μέλλων μενῶ. ἀόριστος α΄, ἔμεινα. ὁ παρακείμενος μεμένηκα ἀπὸ τοῦ μενέω, ἀχρήστου.

Μ ιγνύω, καὶ μίγνυμι. ὁ μέλλων, μίξω. ὁ δεύτερος ἀόριστος, ἐμίγην, ἀπὸ τοῦ μίγω, ἀχρήστου.

Αρχὴ τοῦ ν.

Ν ἔω, μέλλων, νεύσω.

Ν έμω. ὁ μέλλων, νεμῶ. ὁ παρακείμενος, νενέμηκα. παρενθέσει τοῦ η, διὰ τὸ ἀσυντάκτου τοῦ μ, καὶ κ, ἀόριστος α΄, ἔνειμα.

Αρχὴ τοῦ ξ.

Ξ υνίημι. ὁ μέλλων, ξυνήσω. ὁ ἀόριστος, ξυνῆκα, καὶ ξυνέηκα ποιητικῶς.

Αρχὴ τοῦ ο.

Ο ζω. μέλλων, ὄσω. μέσος παρακείμενος, ὦδα, καὶ ἀττικῶς, ὄδωδα.

Ο ἴχομαι. μέλλων, οἰχήσομαι, ἀπὸ τοῦ οἰχέομαι ἀχρήστου, μέσος ἀόριστος β΄, ᾠχώμην.

Ο ἴομαι καὶ κατὰ συγκοπὴν, οἶμαι, οἴει, οἴεται. μέλλων, οἰήσομαι, ἀπὸ τοῦ οἰέομαι ἀχρήστου, ἀόριστος πρῶτος, ᾠήθην. ὁ παρατατικὸς ᾠόμην, καὶ κατὰ συγκοπὴν, ᾤμην.

Ο μνύω, καὶ ὄμνυμι καὶ ὀμόω, ῶ. ὁ μέλλων, ὀμόσω, καὶ ὀμοῦμαι. ὁ παρακείμενος, ὤμοκα. καὶ ἀττικῶς, ὀμώμοκα.

Ο λολύζω μέλλων, ὀλολύξω

Ο μόργνυμι. μέλλων, ὀμόρξω.

Κ ρέμαμαι. ὁ μέλλων, κρεμάσομαι.

Ἀρχὴ τοῦ λ.

Λ αγχάνω. ὁ μέλλων, κληρώσομαι, ἀπὸ τοῦ κληρόω, κληρῶ. παρακείμενος, λέλογχα, καὶ ἀττικῶς εἴληχα. ὁ δεύτερος ἀόριστος, ἔλαχον. ἀπὸ τοῦ λήχω, λήξω.

Λ αμβάνω, ἐλάμβανον. μέλλων, λήψομαι, ἀπὸ τοῦ λήβω, ἀρχῆς, ὅθεν ἀόριστος δεύτερος, ἔλαβον, παρακείμενος λέληφα, καὶ ἀττικῶς, εἴληφα. ὁ ὑπερσυντέλικος, εἰλήφειν.

Λ ανθάνω, ἐλάνθανον. μέλλων, λήσομαι, ἀπὸ τοῦ λήθω. μέσος παρακείμενος, λέληθα. ἀόριστος β′, ἔλαθον. παρακείμενος, λέλησμαι. μέσος ἀόριστος δεύτερος, ἐλαθόμην.

Ἀρχὴ τοῦ μ.

Μ αίνομαι. ὁ μέλλων μανοῦμαι. ὁ μέσος παρακείμενος, μέμηνα. ὁ β′, ἀόριστος, ἐμάνην.

Μ ανθάνω, ἐμάνθανον. ὁ μέλλων, μαθήσομαι, ἀπὸ τοῦ μαθέω, μαθῶ. ὁ παρακείμενος, μεμάθηκα. ὁ ἀόριστος δεύτερος, ἔμαθον, ἀπὸ τοῦ μάθω ἀρχῆς.

Μ άχομαι, ὁ μέλλων, μαχοῦμαι, καὶ μαχέσομαι, ἀπὸ τοῦ μαχέομαι ἀρχῆς. ὁ μέσος ἀόριστος πρῶτος, ἐμαχεσάμην.

Μ είρω ἀρχῆς. μέσος παρακείμενος, μέμορα, καὶ ἔμμορα ποιητικόν, ὁ παθητικὸς παρακείμενος, εἵμαρμαι.

Μ έλομαι. ὁ μέλλων, μελήσω, ἀπὸ τοῦ μελέω ἀρχῆς. ὁ μέσος παρακείμενος, μέμηλα ποιητικόν.

ριστος ἐκάλυ.

Κ λαίω καὶ κλάω ἀττικῶς. ὁ μέλλων, κλαύσω, καὶ κλαιήσω ἀπὸ τοῦ κλαιέω ἀχρήστου.

Κ αθίζω καθέζομαι. ὁ μέλλων δεύτερος, καθεδοῦμαι.

Κ άθημαι. μέλλων, καθήσομαι.

Κ αθίημι, αόριστος α, καθῆκα.

Κ λάζω. ὁ μέλλων κλάγξω, ἀπὸ τοῦ κλάγγω ἀχρήστου, αόριστος πρῶτος, ἔκλαγξα. παρακείμενος, κέκληγα.

Κ άμω, καὶ κάμω. ὁ μέλλων καμοῦμαι. αόριστος δεύτερος, ἔκαμον. παρακείμενος, κέκμηκα, ἀπὸ τοῦ κμῶ. μέλλων, κμήσω.

Κ ορέω, κορῶ, καὶ κορέννυμι, καὶ κορεννύω. μέλλων, κορέσω.

Κ ρεμάζω, καὶ κρεμάω, ῶ, καὶ κρέμαμαι. μέλλων, κρεμάσω.

Κ ρυβείς, καὶ ἐκρύβην, αόριστος δεύτερος, ἀπὸ τοῦ κρύπτομαι, ἢ κρύβομαι παλαιοῦ. ὁ μέλλων, κρύψομαι.

Κ αταδαρθάνω, ὁ μέλλων, καταδαρθήσομαι ὁ δεύτερος αόριστος, κατέδαρθον ἀπὸ τοῦ καταδάρθω, ἀχρήστου.

Κ αλέω. ὁ μέλλων, καλέσω. ὁ παρακείμενος, κέκληκα ἀπὸ τοῦ κεκάλεκα, κατὰ συγκοπὴν, καὶ τροπὴν τοῦ ε, εἰς η.

Κ εραννύω, καὶ κεράννυμι. ὁ μέλλων κεράσω. ὁ παθητικὸς παρακείμενος, κεκέραμαι, καὶ κατὰ συγκοπὴν, κέκραμαι.

τὸ προστακτικὸν σχὲς καὶ ἐπίσχες. τὸ εὐκτικὸν, σχοίην. ἀφ' οὗ τὸ κατέσχημαι. ὁ ἀόριστος, κατεσχέθην. τὸ δὲ ἔξω δασύνεται. ὅθεν τὸ ἀφέξομαι.

Ἀρχὴ τοῦ ζ.

Ζ εύγνυμι, καὶ ζευγνύω. μέλλων, ζεύξω, ἀπὸ τοῦ ζεύγω.

Ζ ωννύω, καὶ ζώννυμι. μέλλων, ζώσω.

Ἀρχὴ τοῦ θ.

Θ άπτω. μέλλων, θάψω. ἀόριστος ά, ἔθαψα, ὁ ἀόριστος β', ἐτάφην.

Θ έλω. μέλλων, θελήσω. ἀόριστος ά, ἠθέλησα καὶ ἐθέλω, ἐθελήσω. ἀόριστος β', ἠθέλησα.

Θ νήσκω, ἔθνησκον. μέλλων, θανοῦμαι. οὗ τὸ θέμα θείνω ἄχρηστον, ἀόριστος β', ἔθανον. παρακείμενος τέθνηκα ἀπὸ τοῦ θνάω. μέσος παρακείμενος, τέθναα. τὸ εὐκτικὸν, τεθναίην, τὸ ἀπαρέμφατον, τεθνάναι, ἡ μετοχὴ, τεθνεώς.

Ἀρχὴ τοῦ ι.

Ι κνοῦμαι ὅθεν τὸ ἀφικνοῦμαι. μέλλων, ἵξομαι. ἀόριστος β', ἱκόμην. παρακείμενος, ἷγμαι, ἀπὸ τοῦ ἵκομαι ἀχρήστου.

Ι λάσκομαι. μέλλων, ἱλάσομαι ἀπὸ τοῦ ἱλάω ἀχρήστου. μέσος ἀόριστος ά, ἱλασάμην.

Ι πταμαι. ὅθεν τὸ ἀφίπταμαι, καθίπταμαι. ὁ μέλλων πτήσομαι, ὁ β', ἀόριστος, ἔπτην, ἀπὸ τοῦ ἱπτάω, ἵπτημι ἀχρήστου, παρατατικὸς, ἱπτάμην, ἵπτασο, καὶ ἵπτω, ἵπτατο.

Ἀρχὴ τοῦ κ.

Κ αίω καὶ κάω. ὁ μέλλων καύσω, ὁ παθητικὸς β', ἀό-

E ἰσπλέω. μέλλων, εἰσπλεύσω. ἀπὸ τοῦ πλεύω.

E ρχομαι. μέλλων, ἐλεύσομαι. μέσος παρακείμενος, ἤλυθα, καὶ ἀττικῶς, ἐλήλυθα. ἀόριστος β΄, ἤλυθον, καὶ ἦλθον, ἦλθες, ἦλθε, κατὰ συγκοπήν. ἀπὸ τοῦ ἐλεύθω, ἀχρήστου.

E ρομαι. μέλλων, ἐρήσομαι. ὁ β΄, ἀόριστος, ἠρόμην.

E ζω. μέλλων, ἕσω. ἀόριστος α΄, εἷσα.

E κκαίω, καὶ ἐκκάω ἀττικῶς. μέλλων ἐκκαύσω. ὁ ἀόριστος, ἔκηα.

E μμορα. μέσος παρακείμενος, ἀπὸ τοῦ μορέω, ῶ. μέμορα, καὶ ἔμμορα, ἢ ἀπὸ τοῦ μείρω, μερῶ. μέμορα, καὶ ἔμμορα.

E μπίπτω. μέλλων, ἐμπεσοῦμαι, παρακείμενος, ἐμπέπτωκα. ἀόριστος β΄, ἐνέπεσον.

E μπίπρημι. μέλλων, ἐμπρήσω.

E ολπα, ἀπὸ τοῦ ἔλπω ἀχρήστου. μέσος παρακείμενος, παρὰ ποιηταῖς.

E ρω ἄχρηστον. μέλλων, ἐρῶ. παρακείμενος, εἴρηκα, ἀπὸ τοῦ ἐρέω ἀχρήστου.

E ὑρίσκω. μέλλων, εὑρήσω. ὁ παρακείμενος εὕρηκα. ὁ παθητικὸς παρακείμενος, εὕρημαι. ὁ ἀόριστος. εὑρέθην. ἀόριστος δεύτερος, εὗρον, ἀπὸ τοῦ εὑρέω, ῶ. ἀχρήστου.

E ω τὸ πορεύομαι ἄχρηστον. ἀφ᾽ οὗ μέσος παρακείμενος. ἦκα. ὁ ὑπερσυντέλικος, ἤειν ἐν χρήσει, ὅθεν τὸ διεξῄειν.

E ῤῥω, ὁ μέλλων, ἐῤῥήσω, ἀπὸ τοῦ ἐῤῥέω ἀχρήστου.

E χω, μέλλων, ἕξω, καὶ σχήσω. παρακείμενος, ἔσχηκα. ἀόριστος β΄, ἔσχον, ἀπὸ τοῦ σχέω, σχῶ, ἀχρήστου.

τοῦ διαζόω, διαζῶ.

Δ ιαλαγχάνω. ἀόριστος β', διέλαχον, ἀπὸ τοῦ διαλήχω.

Δ ιδάσκω, ἐδίδασκον. μέλλων, διδάξω, ἀπὸ τοῦ διδάχω. ἀόριστος α', ἐδίδαξα.

Δ ιαφθείρω. μέλλων διαφθερῶ. μέσος παρακείμενος διέφθορα.

Δ οκέω, ῶ. μέλλων, δόξω, ἀπὸ τοῦ δόκω ἀχρήστου. ἀόριστος α', ἔδοξα, τὸ δὲ δεδόκηκα, ἀπὸ τοῦ δοκέω, δοκῶ.

Δ ύνω, καὶ δύω, καὶ δῦμι. μέλλων, δύσω. ἀόριστος β', ἔδυν, ὅθεν τὸ κατέδυν, καὶ ἀνέδυν.

Αρχὴ τοῦ ε.

Ε δραμον, ἀπὸ τοῦ τρέχω, δραμοῦμαι. ἀόριστος β'. ἔδραμον ἀπὸ τοῦ δρέμω.

Ε γκαλέω, ῶ. μέλλων, ἐγκαλέσω. παρακείμενος, ἐγκέκληκα.

Ε γείρω. ὁ μέλλων, ἐγερῶ. ὁ ἀόριστος πρῶτος, ἤγειρα.

Ε γχέω. ὁ μέλλων, ἐγχεύσω, ἀπὸ τοῦ ἐγχεύω. ὁ ἀόριστος α', ἐνέχεα, καὶ ἐνέχευα αἰολικῶς.

Ε ἴδω ἀχρήστου. μέλλων, εἴσομαι, καὶ εἰδήσω ἀπὸ τοῦ εἰδέω ἀχρήστου. μέσος παρακείμενος οἶδα. ὑπερσυντέλικος, ᾔδειν. ὤφειλε δὲ εἶναι εἴδειν. τρέπεται δὲ τὸ ε, εἰς η, καὶ τὸ ι, ὑπογράφεται. τὸ ἀπαρέμφατον εἰδέναι. ἡ μετοχὴ ὁ εἰδώς.

Ε ἶπα ἀόριστος α', ἀφ' οὗ ἡ μετοχὴ ὁ εἴπας. καὶ εἶπον ἀόριστος β', ἀπὸ τοῦ ἔπω ἀχρήστου,

Ε δω, τὸ ἐσθίω. ὁ παρακείμενος, ἐδήδοκα.

γεγόνειν.

Γ ίνομαι, καὶ γίγνομαι. μέλλων, γενήσομαι ἀπὸ τοῦ γενάομαι, ῶμαι. παρακείμενος, γεγένημαι. μέσος ἀόριστος ά, ἐγενησάμην. μέσος ἀόριστος Β΄, ἐγενόμην. μέσος παρακείμενος γέγονα. ἀπὸ τοῦ γείνω, ἀχρήστου.

Γ ινώσκω, ἐγίνωσκον. μέλλων, γνώσομαι. παρακείμενος, ἔγνωκα. ἀόριστος Β΄. ἔγνων, ἀπὸ τοῦ γνόω, ῶ, γνῶμι. ἡ μετοχὴ, ὁ γνούς, τοῦ γνόντος.

Αρχὴ τοῦ δ.

Δ αίω. μέλλων, δαήσω. ὁ παθητικὸς παρακείμενος, δέδασμαι, καὶ δεδάημαι, ὁ Β΄. ἀόριστος ἐδάην ἀπὸ τοῦ δαέω, ἀχρήστου.

Δ άκνω, ἔδακνον. μέλλων, δήξω. ἀόριστος Β΄, ἔδακον ἀπὸ τοῦ δήκω, ἀχρήστου.

Δ εῖ ἀντὶ τοῦ πρέπει καὶ χρεία ἐστί. μέλλων, δεήσει. ἀόριστος, ἐδέησε, ὁ παρατατικὸς, ἔδει. τὸ ἀπαρέμφατον δεῖν.

Δ είδω τὸ φοβοῦμαι ποιητικὸν ῥῆμα. μέλλων, δείσω. παρακείμενος, δέδοικα καὶ ἰωνικῶς δέδια. ὁ μέσος δέδοικα. καίτοι ὤφειλε δέδοιδα. ἀλλὰ διὰ τὴν ἐπαλληλίαν τοῦ τριπλοῦ δ΄. τὸ ὕστερον ἐτράπη εἰς τὸ χαρακτηριστικὸν τοῦ ἐνεργητικοῦ κ΄. ὑπερσυντέλικος, ἐδεδοίκειν. μέσος παρακείμενος, δέδια. μέσος ὑπερσυντέλικος, ἐδεδίειν.

Δ έομαι. μέλλων, δεήσομαι. παρακείμενος, δεδέημαι. ὁ ἀόριστος ά, ἐδεήθην. ἀπὸ τοῦ δέομαι, δεοῦμαι.

Δ ιαζωννύω καὶ διαζώννυμι. μέλλων, διαζώσω ἀπὸ

πῆάω ἄχθησου.

Α χθομαι. μέλλων, ἀχθέσομαι. ἀόριστος ά. ἠχθέσθην ἀπὸ τοῦ ἀχθέομαι ἄχθησο.

Αρχὴ τοῦ Β.

Β άλλω. μέλλων, βαλῶ. ἀόριστος ἔβαλον. παρακείμενος, βέβληκα. ἀπὸ τοῦ βλῶ, βλήσω.

Β λασαίνω. μέλλων, βλαστήσω. ἀόριστος, ἔβλαστον ἀπὸ τοῦ βλαστέω, ῶ.

Β ούλομαι. μέλλων, βουλήσομαι. παρακείμενος, βεβούλημαι· ἐβεβουλήμην, ἐβουλήθην. ἀπὸ τοῦ βουλέομαι ἀχρήσου.

Β αίνω. μέλλων, βήσομαι. ἀόριστος ά, ἔβην ἀπὸ τοῦ βάω, βῆμι ἄχρησο.

Β ιόω, μέλλων, βιώσω. ὁ β'. ἀόριστος, ἐβίων, ἐβίως, ἐβίω. ἡ μετοχὴ ὁ βιοὺς. παρὰ τὸ βιόω, βιῶμι, ἄχρησο.

Β ιβρώσκω ὅθεν διαβιβρώσκω. μέλλων, βρώσω ἀπὸ τοῦ βρώω, ἄχρησο.

Αρχὴ τοῦ γ.

Γ αμέω, ῶ. μέλλων, γαμήσω. ἀόριστος ά, ἔγημα. ἀπὸ τοῦ γήμω ἄχρησο.

Γ ίνομαι. μέλλων, γενοῦμαι. μέσος ἀόριστος ά, ἐγεινάμην.

Γ ηθέω, ῶ. γηθήσω. ὁ μέσος παρακείμενος, γέγηθα ἀπὸ τοῦ γήθω, ἄχρησο.

Γ ηράσκω καὶ γηράω, γηρῶ, ἄχρησον. μέλλων, γηράσω.

Γ ρηγορέω, γρηγορῶ. μέλλων, γρηγορήσω. μέσος παρακείμενος, ἐγρήγορα. ὑπερσυντέλικος, ἐ-

φαίνῃς. δεύτερο δ' ἂν οὐκ ἂν ἀπέδραμεν. τὸ τρίτον ἀπέδραν. σοφοκλῆς. ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν. ἡ μετοχὴ ὁ ἀποδράς. ὅμηρος ὀδυσσείας π. Νῦν δ' ἂν θεαπερωτῶν αὐδρῶν ἐκ δίος ἀποδράς. ἀπὸ τοῦ ἀποδράω, ἀποδρῆμι ἀχρήστου. ὁμοίως δὲ καὶ ὑποδιδράσκω. καὶ διαδιδράσκω.

A ναπετιννύω, καὶ ἀναπετάννυμι. μέλλων ἀναπετάσω, ἀπὸ τοῦ ἀναπετάω, ῶ.

A ποδεικνύω, καὶ ἀποδείγνυμι. μέλλων ἀποδείξω ἀπὸ τοῦ ἀποδείκω.

A πολέω, ῶ. μέλλων, ἀπολέσω. παρακείμενος, ἀπώλεκα, καὶ ἀττικῶς ἀπολώλεκα. καὶ μέσος παρακείμενος, ἀπῶλα, καὶ ἀττικῶς ἀπόλωλα. ὁ μέσος β'. ἀόριστος, ἀπωλόμην, ἀπὸ τοῦ ἀπόλλω, ἀχρήστου, τὰ γὰρ ἐν χρήσει, ἀπολλύω, καὶ ἀπόλλυμι.

A ποσβεννύω, καὶ ἀποσβέννυμι. μέλλων ἀποσβέσω. ἀόριστος β'. ἀπέσβην.

A ποτέμνω. μέλλων, ἀποτεμῶ, καὶ ἀποτμήσω. ἀόριστος β'. ἀπέτεμον.

A παυράω, ῶ. ἀόριστος ἀπηῦρα.

A ποκλαίω. μέλλων, ἀποκλαύσω, ἀπὸ τοῦ κλαύω παλαιοῦ.

A ναμιμνήσκω. μέλλων, ἀναμνήσω. ἀόριστος ἐμνήσθην, ἀπὸ τοῦ ἀναμνάω παλαιοῦ.

A ρέσκω. μέλλων, ἀρέσω. ἀπὸ τοῦ ἀρέω, παλαιοῦ.

A φίπταμαι. μέλλων, ἀποπτήσομαι. ἀόριστος δεύτερος, ἀπέπτην. μέσος, ἀπεπτάμην ἀπὸ τοῦ ἀφί-

Α λέξω. μέλλων, ἀλεξήσω, ἀπὸ τοῦ ἀλεξέω, ἀχρήστου.

Α μαρτάνω. παρατατικὸς, ἡμάρτανον. μέλλων ἁμαρτήσομαι. παρακείμενος, ἡμάρτηκα. ἀόριστος δεύτερος, ἥμαρτον, ἀπὸ τοῦ ἁμαρτέω, ἁμαρτῶ, ἀχρήστου.

Α νοίγω. μέλλων, ἀνοίξω. ἀόριστος, ἀνέωξα ἀττικῶς. μέσος παρακείμενος, ἀνέωγα. ὁ παθητικὸς παρακείμενος, ἀνέωγμαι. ἀόριστος α΄. ἀνεώχθην.

Α πεχθάνομαι. μέλλων, ἀπεχθήσομαι. παρακείμενος, ἀπήχθημαι. μέσος β΄. ἀόριστος, ἀπεχθόμην, ἀπὸ τοῦ ἀπεχθέομαι, ἀχρήστου.

Α ὐξαίνω, καὶ αὔξω. μέλλων, αὐξήσω, ὡς ἀπὸ τοῦ παλαιοῦ θέματος αὐξέω, αὐξῶ. ἀόριστος α΄. ηὔξησα.

Α λίσκομαι. μέλλων, ἁλώσομαι. ὁ δεύτερος ἀόριστος, ἥλων, καὶ ἑάλων ἀττικῶς, παρὰ τὸ ἁλόω, ῶ. ἁλῶμι. ὅθεν ἡ μετοχὴ ὁ ἁλοὺς τοῦ ἁλόντος.

Α μφιέννυμι. μέλλων, ἀμφιέσω. παθητικὸς παρακείμενος, ἠμφίεσμαι.

Α ναγινώσκω. παρατατικὸς, ἀνεγίνωσκον. μέλλων ἀναγνώσομαι. παρακείμενος, ἀνέγνωκα. ἀόριστος δεύτερος ἀνέγνων ἀπὸ τοῦ ἀναγνόω, ῶ, ἀνάγνωμι, ἀχρήστου.

Α ναῤῥηγνύω, καὶ ἀναῤῥήγνυμι. μέλλων, ἀναῤῥήξω, ἀπὸ τοῦ ἀναῤῥήσσω.

Α πόχρη, ἀπρόσωπον. μ. ἀποχρήσει. ἀόριστος, ἀπέχρησε, ἀπὸ ἀποχρέω παλαιοῦ.

Α ποδιδράσκω. μέλλων ἀποδράσω. ἀόριστος α΄, ἀπέδρα. τὸ α΄, τῶν πληθυντικῶν ἀπέδραμεν. ἀόριστο

μὲν παράγωγον, λαμβάνομεν ἐξ οὗ παράγεται, καθ᾽ ὅ ἐστι τὸ πνεῦμα. εἰ δὲ σύνθετον, ἐξ οὗ σύντίθεται, καθ᾽ ὅ ἐστι τὸ πνεῦμα. καὶ εἰ μέν τινι τῶν καθόλου κανόνων ὑποπίπτει, ἀπ᾽ ἐκείνου τοῦτο κρινόμενον, μὴ φροντίζοντες τῶν κατὰ μέρος. εἰ δὲ μή, τότε ἀπὸ τῶν κατὰ μέρος τοῦτο κρινόμενον.

ΠΕΡΙ ΑΝΩΜΑΛΩΝ ΡΗΜΑΤΩΝ. ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

Ἀρχὴ τοῦ α.

Ἄγαμαι. μέλλων ἀγάσομαι, ἀόριστος πρῶτος, ἠγάσθην. μέσος ἀόριστος, ἠγασάμην. Ἄγω, μέλλων ἄξω. ἀόριστος δεύτερος, ἦγον, καὶ ἀττικῶς ἤγαγον κατὰ ἀναδιπλασιασμόν. παρακείμενος, ἦχα, καὶ ἀττικῶς ἀγήοχα.

Α γνυμι. μέλλων, ἄξω. μέσος παρακείμενος ἀττικῶς ἔαγα. ἐξ οὗ τὸ κατέαγα. ἀόριστος α. ἔαξα, ὅθεν τὸ κατέαξα.

Α ἱροῦμαι. μέλλων, αἱρήσομαι. παρακείμενος, ᾕρημαι. ἀόριστος α. ᾑρέθην. μέσος ἀόριστος δεύτερος, εἱλόμην, ἀπὸ τοῦ ἕλω ἀχρήστου. ὅθεν καὶ τὸ εἷλον.

Α ἰσθάνομαι. μέλλων, αἰσθήσομαι. παρατατικὸς ᾐσθημαι. μέσος δεύτερος ἀόριστος, ᾐσθόμην ἀπὸ αἰσθέομαι, ἀχρήστου.

Η αι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται. εἰ μὴ τὸ μ, ἐπάγοιτο. πλὴν τοῦ αἴρω. αἰροῦμαι.

Η αυ δίφθογγος, ψιλοῦται. πλὴν αὕτη, καὶ αὑτοῦ, αὑτὶ τοῦ ἑαυτοῦ. ὡς εἴρηται πρότερον.

Η ει δίφθογγος ψιλοῦται. πλὴν εἵλως, εἱλύσω. εἱμαρμένη. εἷμα, τὸ ἔνδυμα. εἱμένος. εἷς. εἵως. εἱρμός. εἱρκτή.

Η ευ δίφθογγος ψιλοῦται. πλὴν εὕω, τὸ φωτίζω, καὶ φλογίζω. εὕδω, τὸ κοιμῶμαι. εὑρίσκω.

Η οι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται. πλὴν οἷμος. οἷς δὲ τὸ πρόβατον ἐκ τοῦ ὄϊς ψιλοῦται.

Η ου δίφθογγος ψιλοῦται. οὕνεκα γὰρ αἰτιολογικόν, καὶ ὁ ἄρθρον δὲ, καὶ ἀναφορικόν, καὶ οὗτος δὲ ἀναφορικόν τε, καὶ ἀντωνυμία, καὶ οὕτως ἐπίρρημα.

Ωστε δασυνόμενα ἐν ταῖς διφθόγγοις ἡ αι, καὶ ἡ οι, ἐν τοῖς μονοσυλλάβοις εἰ μὴ ἐπίρρημα εἴη, ἔτι ἐν οἷς μετὰ τὸ αι, τὸ μ, ἐπάγεται. αὕτη. αὑτοῦ. εἵλως. εἱλύσω. εἱμαρμένη. εἷμα. εἱμένος. εἷς. εἵως. εἱρμός. εἱρκτή. εὕδω. εὕρω. εὕω. εὑρίσκω. οἷμος. οὕνεκα. ὁ. οὗτος. οὕτως.

Ζητοῦντος τοίνυν περὶ τινὸς πότερον δασύνεται, ἢ ψιλοῦται, εἰ μὲν ὄνομα εἴη, λαμβάνομεν τὴν εὐθεῖαν. εἰ δὲ ῥῆμα, ἢ μετοχὴ, τὸ θέμα, εἰ δὲ ἄλλοτι τῶν μερῶν τοῦ λόγου, αὐτὸ ἐκεῖνο. καὶ εἰ

πλὴν ὁδός. πρὸ τῶν ε, ζ, κ, θ, ι, ψιλοῦται ἀεί. πρὸ κ, ψιλοῦται. πλὴν τοῦ ὁκεῖος. ὁκόσον, ὁπόσον γὰρ ἦν. πρὸ λ, ψιλοῦται. πλὴν τοῦ ὅλος. ὅλμος. ὁλκή. πρὸ μ, ψιλοῦται. πλὴν τοῦ ὁμοῦ. ὅμοιος. ὅμως. ὅμηρον, καὶ ὅμηρος. ὁμοκλή. ὁμαλός. ὅμιλος. πρὸ ν, καὶ ξ, ψιλοῦται ἀεί. πρὸ π, ψιλοῦται. πλὴν ὅπλον. πρὸ τοῦ ρ, ψιλοῦται. πλὴν τοῦ ὁρῶ. ὅρος. ὁρισμός. καὶ πλὴν ἐφ' ὧν τὸ κ, ἢ τὸ μ, μετὰ ρ, ἐπάγοιτο. ὁρμός. ὁρμῶ, ὁρκίζω. ὁρμαθός. πρὸ τοῦ σ, φωνήεντος μὲν ὑποφερομένου δασύνεται. πλὴν τοῦ ὄσιρις. συμφώνου δὲ ὑποφερομένου ψιλοῦται. πρὸ τ, ψιλοῦται. πλὴν τοῦ ὅτι, ὅταν. πρὸ τῶν φ, χ, ψ, ψιλοῦται ἀεί. πρὸ τοῦ ο, ἢ υ, ἢ ω, οὐκ εὕρηται.

Συνάγεται, ὅτι τὸ ο, πρὸ πάντων τῶν φωνηέντων ψιλοῦται. πρὸ συμφώνων τῶν β, γ, δ, θ, ν, ξ, φ, χ, ψ, ψιλοῦται. πλὴν τοῦ ὁδός.

Ὥστε δασυνόμενα τοῦ ο, ταῦτα. ὁδός. ὁκεῖος. ὁκόσος. ὅλος. ὅλμος. ὁλκή. ὁμοῦ. ὅμοιος. ὅμως. ὅμηρον. ὅμηρος. ὁμοκλή. ὅμιλος. ὁμαλός. ὅπλον. ὁρῶ. ὅρος. ἐν οἷς μετὰ τὸ ρ, ἐπάγεται τὸ κ, ἢ τὸ μ, ἐν οἷς μετὰ τὸ σ, φωνῆεν ὑποφέρεται. πλὴν τοῦ ὄσιρις. ὅτι. ὅταν.

Τὸ υ, δασύνεται ἀεί. πλὴν τῶν αἰολικῶν. οἱ γὰρ αἰολεῖς ἀγνοοῦσι τὴν δασεῖαν.

Τὸ ω μέγα ψιλοῦται ἀεί, πλὴν τῶν παρὰ τὸ ὥρα. ὧδε, ἀντὶ οὕτως ὡρακιῶ.

πρὸ τοῦ ζ, δασύνεται ἀεί. πρὸ η, ψιλοῦται, πλὴν τοῦ ἵημι. πρὸ θ, ψιλοῦται ἀεί. πρὸ ι, οὐχ εὕρηται. πρὸ κ, ψιλοῦται. πλὴν τοῦ ἱκανός. ἱκετεύω. ἱκάνω. ἱκνοῦμαι. πρὸ λ, ἢ ψιλός, ἢ διπλοῦ, ψιλοῦται. πλὴν ἵλεως. πρὸ μ, φωνήεντος μὲν ὑποφερομένου δασύνεται ἀεί, συμφώνου δὲ ὑποφερομένου, ψιλοῦται ἀεί. πρὸ ν, ψιλοῦται ἀεί. πρὸ τῶν ξ, καὶ ο, ψιλοῦται ἀεί. πρὸ π, ψιλὸς μὲν ψιλοῦται. πλὴν τοῦ ἵπταμαι. διπλοῦ δὲ, δασύνεται. πρὸ ρ, ψιλοῦται ἀεί. πρὸ σ, ψιλοῦται. εἰ μὴ τὸ τ, ἐπάγοιτο. εἰ δὲ τὸ τ, ἐπάγοιτο, δασύνετ. πλὴν ἴσρος. πρὸ τῶν τ, υ, φ, χ, ψ, ω, ψιλοῦται ἀεί.

Σ υνάγεται, ὅτι τὸ ι. πρὸ πάντων μὲν τῶν φωνηέντων ψιλοῦται. πλὴν ἱερόν. ἱέραξ. ἵημι. πρὸ συμφώνων τῶν β, γ, θ, ξ, τ, φ, χ, ψιλοῦται ἀεί. πρὸ ζ, δασύνεται ἀεί.

Ω στε δασυνόμενα ι, ταῦτα. ἐν οἷς τῷ δ, τὸ ρ, ἕπεται. πλὴν ἴδρις. ἱερόν. ἱέρραξ. ἐν οἷς τὸ ζ, ἐπάγεται. ἵημι. ἱκανός. ἱκετεύω. ἱκάνω. ἱκνοῦμαι. ἵλεως. ἐν οἷς μετὰ μ, φωνῆεν ὑποφέροιτο. ἵνα, ἵπταμαι. ἐν οἷς πτ, ἐπιφέρεται. ἐν οἷς τὸ s, ἐπάγεται. πλὴν τοῦ ἴσρος.

Τ ὸ ο, κατὰ πλεονασμὸν, προστιθέμενον δασύνεται. οἷον, ὁποσοῦν ὁπότροπ. τὸ ο, πρὸ τῶν α, β, γ, ψιλοῦται ἀεί. πρὸ δ, ψιλοῦται.

εὕρηται. πρὸ β, δασύνεται, εἰ μὴ ἀπὸ πλεονασμοῦ, εἴη. οἷον, ἡβαιόν. πρὸ γ, δασύνεται. πλὴν τοῦ ἠγάθεος. πρὸ δ, ψιλοῦται. πλὴν τοῦ ἡδονή. πρὸ τῶν ε, ζ, η, θ, ι, ψιλοῦται ἀεί. πρὸ κ, δασύνεται. πλὴν τοῦ ἦκα, ἀντὶ τοῦ ἡσύχως. πρὸ λ, ψιλοῦται. πλὴν τοῦ ἧλος, ἥλιος. πρὸ μ, ψιλοῦται. πλὴν τοῦ ἡμέρα, ἥμερος, ἥμισυ. ἧμων ὁ ἀκοντιστής. πρὸ τοῦ ν, ψιλοῦται. πλὴν τοῦ ἡνίκα. πρὸ τοῦ ξ, οὐκ εὕρηται. εἰ μὴ ἀπὸ κλίσεως. πρὸ ο, καὶ π, ψιλοῦται. πλὴν ἧπαρ. πρὸ ρ, ψιλοῦται. πλὴν ἡρώδης, ἥρα, ἡροδιανός. ἥρων, ἡρακλῆς. πρὸ τοῦ σ, δασύνεται ἀεί. πρὸ τ, ψιλοῦται. πλὴν ἥττωμαι. πρὸ υ, ψιλοῦται ἀεί. πρὸ φ, ψιλοῦται. πλὴν ἥφαιστος, καὶ ἡφαιστίων. πρὸ χ, ψιλοῦται ἀεί. πρὸ ψ, οὐκ εὕρηται εἰ μὴ ἐπὶ αὐξήσεως. πρὸ ω μεγάλου ψιλοῦται ἀεί.

Σ υνάγεται, ὅτι τὸ η, πρὸ πάντων τῶν φωνηέντων ψιλοῦται. πρὸ συμφώνων ζ, θ, χ, ψιλοῦται ἀεί. πρὸ γ, σ, δασύνεται. ὥς τε δασυνόμενα η, ἐν οἷς τὸ β, ἕπεται, εἰ μὴ ἀπὸ πλεονασμοῦ. πρόσκειται ἐν οἷς γ, ἕπεται. ἡδύς. ἐν οἷς τὸ κ, ἕπεται. πλὴν τοῦ ἦκα. ἧλος. ἥλιος. ἡμέρα. ἥμερος, ἥμισυ. ἧμων. ἧπαρ. ἡρώδης. ἡροδιανός. ἥρα. ἡρόφιλος. ἐν οἷς δὲ σ, ἕπεται. ἥττωμαι. ἥφαιστος, ἡφαιστίων.

Τ ὸ ι, πρὸ τοῦ α, β, γ, ψιλοῦται ἀεί. καὶ πρὸ τοῦ δ, ψιλοῦται. εἰ μὴ τὸ ρ, ἐπάγοιτο. πλὴν τοῦ ἴδμις. πρὸ τοῦ ε, ψιλοῦται. πλὴν ἱερόν. ἱέρραξ.

ψιλοῦται ἀεί. πρὸ κ, δασύνεται. πλὴν ἑκυρὸς, καὶ ἐκεχειρία. πρὸ λ, ἐν ἀρχῇ, ἢ διφθόγγου ψιλοῦται εἰ μὴ τὸ κ, ἐπάγοιτο. καὶ πλὴν τοῦ ἕλλην. ἕλη, ἑλλήσποντος, ἕλκος, ἑλκύω, ἕλος, ἕλω, ἑλίσσω, ἑλικών, ἕλμινς. πρὸ μ, ψιλοῦται ἀεί. πρὸ ν, ἐν ἀρχῇ ἢ διφθόγγου, ψιλοῦται. τὸ γὰρ ἕνεκα αἰτιολογικόν ἐστι. πρὸ ξ, ψιλοῦται. πλὴν τοῦ ἕξω. ἕξις, ἑξῆς. πρὸ π, ψιλοῦται. πλὴν τοῦ ἕπομαι. πρὸ ο, δασύνεται ἀεί. πρὸ ρ, ψιλοῦται. πλὴν τοῦ ἕρκος, ἑρμῆς, ἕρσω, ἕρδω. πρὸ σ, ψιλοῦται. πλὴν τῶν ἐχόντων αὐτὸ μετὰ τ, οἷον ἑστιῶ. πρὸ τ, ψιλοῦται, πλὴν τοῦ ἕτερος, ἕτοιμος, ἑταῖρος. πρὸ υ, ψιλοῦται ἀεί. πρὸ φ, καὶ πρὸ χ, ψιλοῦται, πλὴν ἑφθός. πρὸ ψ, ἀεὶ δασύνεται. πρὸ ω, δασύνεται. πλὴν τοῦ ἕω τὸ ὑπάρχω, καὶ ἑῶ.

Σ υνάγεται, ὅτι τὸ ε, πρὸ φωνηέντων τῶν ε, ι, υ, ψιλοῦται. πλὴν τοῦ ἑέλδωρ. πρὸ δὲ τῶν α, ο, ω, δασύνεται. πλὴν ἔαρ, καὶ ἐάω, καὶ ἐῶ. πρὸ συμφώνων τῶν θ, φ, χ, γ, μ, ν, ψιλοῦται ἀεί. πλὴν ἑφθός. πρὸ ψ, δασύνεται ἀεί. ὥστε δασυνόμενα ε, ἐν οἷς τὸ α, ἐπάγοιτο. πλὴν ἔαρ, καὶ ἐάω, ἑβραῖος, ἕδος, ἐδεῖται, ἔδυν, ἑέλδωρ. ἐν οἷς τὸ κ, ἐπάγεται. πλὴν ἑκυρὸς, ἐν οἷς μετὰ τὸ λ, κ, ἐπάγεται, ἕλλην, ἑλλήσποντος, ἕξω, ἕξις, ἐν οἷς π, ρ, ἐπάγεται, ἕρκος, ἕρδω. ἐν οἷς ϛ, ἐπάγεται. ἐν οἷς ω μέγα ἕπομαι, ἔργα ἐπάγεται. πλὴν ἕω, καὶ ἑῶ.

Τ ὸ η, πρὸ τοῦ α, ἀπὸ κλίσεως μόνον ἤτοι αὐξήσεως

εὕρηται

σοῦς. ἄλλομαι. πρὸ μ, ψιλοῦται. πλὴν ἅμα. ἁμαρτάνω. ἅμιλλα, ἅμμα, τὸ σχοινίον. ἅμις. ἁμηγέπη. συμφώνου δὲ ὑποφερομένου μετὰ τὸ μ, ἀεὶ ψιλοῦται. πρὸ τοῦ ν, ψιλοῦται. πλὴν ἁνδάνω, τὸ ἀρέσκω. πρὸ ξ, ο, ψιλοῦται ἀεί. πρὸ π, ψιλοῦται. πλὴν ἅπας. ἁπλοῦς. ἅπαξ. ἅπτομαι. πρὸ ρ, ψιλοῦται. πλὴν ἁραιόν. πρὸ σ, ψιλοῦται ἀεί. πρὸ τ, ψιλοῦται. πλὴν ἅττα ὑπὸ τῆς σημασίας τοῦ ἅτινα. ἅτερος. πρὸ υ, φ, χ, ψιλοῦται ἀεί. πρὸ ψ, ψιλοῦται, πλὴν ἅψις, ἅψεα, τὰ μέλη. πρὸ τοῦ ω μεγάλου ψιλοῦται ἀεί.

Σ υνάγεται, ὅτι τὸ α, πρὸ παντὸς φωνήεντος ψιλοῦται ἀεί. καὶ πρὸ συμφώνων τῶν θ, φ, χ, κ, σ, ξ, ψιλοῦται ἀεί.

Ω ς τὰ δασυνόμενα τοῦ α, ἐν οἷς μετὰ τὸ β, ρ, ἐπάγοιτο. ἔτι ἁγνός, ἅγνος. ἁδρός, ἅζομαι. ἅδης. ἐν οἷς μετὰ τὸ λ, μ, ἐπάγεται. ἔτι ἅλς. ἁλῶ. καὶ τὰ λοιπά. ἐν οἷς μετὰ τὸ ρ, μ, ἐπάγεται ἢ τὸ π, ἔτι ἁραιόν, ἅττα, ἅτερος.

Τ ὸ πλεονάζον ἐν ἀρχῇ λέξεως, τὸ τοῦ ἑπομένου πνεῦμα λαμβάνει. οἷον, ὥρων, ἑόρων. εἴκοσιν, ἐείκοσιν. Τὸ ε, πρὸ α, δασύνεται. πλὴν τοῦ ἐαν καὶ ἐάω καὶ ἔαρ. πρὸ τοῦ β, ψιλοῦται. πλὴν ἑβραῖος. πρὸ γ, ψιλοῦται ἀεί. πρὸ δ, ψιλοῦται. πλὴν ἕδος, τὸ ἔδαφος. ἑδεῖται ἀντὶ τοῦ καθεδεῖται ἕδνον. πρὸ ε, ψιλοῦται. πλὴν τοῦ ἐέλδωρ ἡ ἐπιθυμία. πρὸ ζ, η, οὐκ εὕρηται εἰ μὴ ἀπὸ κλίσεως. πρὸ θ, ψιλοῦται ἀεί. πρὸ ι,

νοοῦσι τὴν δασεῖαν.

Τὰ ἀριθμητικὰ πάντα δασύνονται, πλὴν τῶν ὀκτὼ καὶ ἐννέα. καὶ τῶν ἐπ' αὐτῶν.

Ἐν τούτοις σημείωσαι δασυνόμενα, τὰ ἀριθμητικά, πλὴν τοῦ ὀκτὼ καὶ ἐννέα. τὰ γὰρ ἄλλα, τοῖς κατὰ μέρος κανόσιν ὑποπίπτει.

Τούτων ὑποκειμένων ἀμεταποιήτων, λοιπὸν λέγωμεν κατὰ μέρος ἕκαστον τῶν φωνηέντων ἢ διφθόγγων μετὰ πάντων τῶν γραμμάτων θεωροῦντες σωζομένων προηγουμένως, τῶν εἰρημένων καθόλου κανόνων, τούτων γὰρ ἐξῃρημένων, τὰ λοιπὰ τοῖς κατὰ μέρος ὑποπίπτει περὶ ὧν ἤδη λέγωμεν.

Κανόνες κατὰ μέρος.

Τὸ α, εἴτε ἐπίτασιν δηλοῖ, εἴτε στέρησιν, εἴτε ὁμοῦ, εἴτε κακόν, εἴτε ὀλίγον, εἴτε πλεονάζει, ψιλοῦται. πλὴν τοῦ ἄλυσις ἐκ τοῦ στερητικοῦ α, καὶ τοῦ λύω, καὶ ἄδης ἐκ τοῦ α, στερητικοῦ, καὶ ἴδω. ἀθροιστικὸν α, δασύνεται. οἷον ἅπας.

Τὸ α, πρὸ ἑαυτοῦ ψιλοῦται ἀεί. καὶ πρὸ τοῦ β, ψιλοῦται. εἰ μὴ τὸ ρ, ἐπιφέροιτο καὶ πρὸ τοῦ γ, ψιλοῦται. πλὴν ἁγνός, ἅγιος, καὶ τῶν ἀπὸ τούτων παρηγμένων. ὅπερ ἐπὶ πάντων τῶν ἐξαιρουμένων νοείσθω. πρὸ τοῦ δ, ψιλοῦται. πλὴν ἅδης, ἁδρός. πρὸ ε, ψιλοῦται ἀεί. πρὸ ζ, ψιλοῦται ἀεί. πλὴν ἅζομαι τὸ σέβομαι. πρὸ η, ψιλοῦται ἀεί. πρὸ θ, ι, κ, ψιλοῦται ἀεί. πρὸ λ, ἢ ψιλὸς, ἢ διττοῦ ψιλοῦται. εἰ μὴ τὸ μ, ἐπάγοιτο, πλὴν ἅλς. ἁλῶ. τὸ κρατῶ. ἅλις. ἁλίζω. ἅλως. ἅλυσις. ἁλικαρνα-

κείμενος διότι συμβαίνει τὸ πνεῦμα τοῦ διεστῶτος ἔχει. οἷον, ἵστημι, ἕστηκα, ἑστηκώς, καὶ ταῦτα δὲ πνεύματα κλίσεως λεγέσθωσαν.

Πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται. πᾶσα ἀντωνυμία ἀπὸ μὲν τοῦ ε, ἀρχομένη ψιλοῦται. πλὴν τῆς ἕ, καὶ τῶν ἐξ αὐτῆς. ἀπὸ δὲ ἄλλου φωνήεντος ἀρχομένη δασύνεται. πλὴν τῆς αὐτὸς, καὶ τῶν ἀπ' αὐτῆς.

Πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη, ψιλοῦται. πλὴν τῆς ὑπὸ, καὶ ὑπὲρ.

Πᾶς σύνδεσμος ἀπὸ φωνήεντος ἀρχόμενος, ψιλοῦται, πλὴν τῶν αἰτιολογικῶν. οἱ γὰρ αἰτιολογικοὶ πάντες δασύνονται. πλὴν τοῦ ὄφρα, συνάγεται ἀπὸ τῶν εἰρημένων καθόλου περὶ τῶν μερῶν τοῦ λόγου, ὅτι δασύνονται. τὸ πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον. καὶ πᾶσα ἀντωνυμία ἀπὸ φωνήεντος, πλὴν τῆς αὐτός. καὶ πλὴν τῶν ἀπὸ τοῦ ε, ὡς εἴρηται, καὶ ὑπὸ πρόθεσις, καὶ ἡ ὑπὲρ. καὶ πάντες οἱ αἰτιολογικοί. πλὴν τοῦ ὄφρα.

Ετεροι κανόνες καθόλου.

Τὰ παράγωγα εἰ σώζει τὴν ἀρχὴν, τὸ πνεῦμα τοῦ ἰδίου πρωτοτύπου ἔχει. πλὴν τοῦ ἱδρὼς ἀπὸ τοῦ ἰδίω τὸ κοπιῶ. ἄμυδις ἀντὶ τοῦ ἅμα ἀπ' αὐτοῦ. εἱρμὸς ἀπὸ τοῦ εἴργω, καλείδω, πνεῦμα παραγωγῆς.

Τὰ κατὰ ἀφαίρεσιν ψιλοῦ συμφώνου γινόμενα ἀναφορικὰ δασύνονται. οἷον, τόσος, ὅσος. τηνίκα, ἡνίκα. πλὴν τόφρα, ὄφρα. τῆμος. ἦμος.

Τὰ αἰολικὰ πάντα ψιλοῦνται, οἱ γὰρ αἰολεῖς ἀγ-

βραχύ. οἷον μοῖρα. πεῖρα.

Τὰ δὲ εἰς δα, καὶ θα, μακρύνει, αὐτὸ. οἷον, λήδα. κισσαίθα. τὰ δὲ ἄλλα πάντα βραχέα εἰσίν.

Ὡς τὸ συλλέγειν ἔξεστιν ἅπαντα τὰ ὀξύτονα, καὶ περισπώμενα θηλυκὰ, καὶ τὰ ἔχοντα ἀρσενικὸν μακροκαταληκτοῦν τῆς γενικῆς, καὶ τὰ παρὰ τοῦ δύω, καὶ τὰ εἰς αια πολυσύλλαβα, καὶ τὰ εἰς ρα, μονοφθόγγῳ παραλήγοντα, καὶ τὰ εἰς δα, καὶ εἰς θα, καθόλου μακρὸν τηρεῖν τὸ α. τὰ δὲ λοιπὰ βραχύ.

Κανόνες, περὶ ψιλουμένων, καὶ δασυνομένων λέξεων.

Πόσα πνεύματα; δύο, δασεῖα, καὶ ψιλή.

Πᾶσα λέξις ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχομένη δασύνεται, ἢ ψιλοῦται. ἀπὸ δὲ τῶν συμφώνων, μόνον τὸ ρ, ἐν ἀρχῇ λέξεως ὂν, δασύνεται.

Κανόνες καθόλου.

Σημείωσαι καθόλου ἐν τε τοῖς ὀνόμασι, καὶ ὀνοματικοῖς, ὅτι τὸ τῆς εὐθείας πνεῦμα φυλάσσεται καὶ ἐν τοῖς ἐπ' ἐκείνης κλινομένοις ὃ πνεῦμα κλίσεως ἐν τοῖς ἀπ' ἐκείνης λεγέσθω.

Καὶ ἐν τοῖς ῥήμασι δὲ τὸ πνεῦμα τοῦ θέματος φυλάσσεται καὶ ἐν τοῖς ἀπ' ἐκείνου κλινομένοις. οἷον ἁμαρτάνω, ἡμάρτανον. ἕλκω. εἵλκον. ὁ πνεῦμα κλίσεως ἐν τοῖς ἀπ' ἐκείνου λεγέσθω. πλὴν τοῦ ἔχω. ἕξω, καὶ ἅλλομαι, ἧλτο.

Ἔτι ἐπὶ τῶν ῥημάτων, τὸ ἐν τοῖς παρῳχημένοις ε, προερχόμενον. καὶ ἀποπίπτον ψιλοῦται. εἰ δὲ προέρχεται μὲν, οὐκ ἀποπίπτει δὲ ὅπερ ἐπὶ τοῦ παρα

τοῦ ἰδίου ὁ δευτέρου, εἰς ων, τὸ συγκριτικὸν, καὶ ὑπερθετικὸν ποιεῖ. οἷον, ἀληθὴς, ἀληθέστερος, ἀληθέστατος. θεοφιλὴς, θεοφιλέστερος, θεοφιλέστατος. ἀκριβὴς, ἀκριβέστερος, ἀκριβέστατος.

Τὰ δὲ εἰς ης, διὰ τοῦ υτερος τὸ συγκριτικὸν, καὶ διὰ τοῦ υτατος τὸ ὑπερθετικὸν ποιεῖ. οἷον βραχὺς, βραχύτερος, βραχύτατος, γλυκὺς, γλυκύτερος, γλυκύτατος, ταῦτα μέν τοι ποιοῦσι. ἡδὺς, ἡδίων, ἥδιστος, ταχὺς, ταχύτερος, ἢ ταχίων, τάχιστος. τὰ δὲ ἄλλα, εἰς ἄλλο τι λήγοντα, ὡς ἐπὶ τὸ πλεῖστον, εἰς εστερος, καὶ εἰς εστατος ποιεῖ. οἷον, χαρίεις χαριέστερος, χαριέστατος σώφρων σωφρονέστερος, σωφρονέστατος, εὔνους, εὐνούστερος, εὐνούστατος.

Τὰ συγκριτικὰ, τῇ γενικῇ συντάσσεται καὶ τῇ δοτικῇ σημαίνουσιν ὑπερβολήν. οἷον, ἀνδρόνικος μείζων ἐστὶ θεοδώρου ἐνὶ δακτύλῳ.

Τὰ θηλυκὰ, εἰς α, εἰ μὲν ὀξύτονα, ἢ περισπώμενα εἴη, τὸ α, ἐκτείνει. οἷον, χαρά. ἀθηνᾶ, προπερισπώμενα δὲ, καὶ παροξύτονα συστέλλει. οἷον, μοῦσα. δόξα. ἐὰν δὲ ἀρσενικὸν ἔχῃ τῷ τέλει τοῦ ἰδίου ἀρσενικοῦ ἐν τῇ γενικῇ ὁμοχρονεῖ. οἷον, οἰκεῖος, οἰκείου, οἰκεία. βαρὺς, βαρέος, βαρεῖα. εἰ δὲ ἀπὸ τῶν εἰς ω ῥημάτων γίνεται μακροκαταληκτεῖ. οἷον, βασιλεύω, βασιλεία.

Τὰ δὲ εἰς αια, δισύλλαβα μὲν βραχὺ τὸ α, ἔχει. οἷον, γραῖα. μαῖα. πολυσύλλαβα δὲ μακρόν. οἷον σεληναία.

Τὰ δὲ εἰς ρα, καὶ μονοφθόγγῳ παραληγόμενα, μακρὸν αὐτὸ ἔχει. οἷον πήρα. διφθόγγῳ δὲ παραληγόμενα,

πων λέγονται. ὡς ὁ ἀλλὰ καὶ συμπλεκτικὸς, καὶ συλλογιστικός. ὁ ἄν, καὶ συμπλεκτικὸς, καὶ παραπληρωματικός.

Περὶ συγκριτικοῦ ὀνόματος.

Συγκριτικὸν ὄνομα, ἐστὶ δι' οὗ σύγκρισις γίνεται πρὸς ὁμογενεῖς. οἷον, ὁ ἀχιλλεὺς ἰσχυρότερος ἦν τῶν δαναῶν, ἢ πρὸς ἑτερογενεῖς. οἷον, ἕκτωρ ἦν πολεμικώτερος τῶν κεφαλλήνων.

Οἱ τύποι τῶν συγκριτικῶν δύο εἰσί. ἢ γὰρ εἰς ων. οἷον μείζων, ἢ εἰς ρος, οἷον πλουσιώτερος.

Τῶν ὀνομάτων τῶν εἰς ος, ληγόντων εἰ μὲν μακρὰ εἴη ἡ παραλήγουσα φύσει, ἢ θέσει, τότε τὸ ἔσχατον εἰς ο μικρὸν μένει, καὶ εἰς τερος, ποιεῖ τὸ συγκριτικόν. οἷον, ἔνδοξος, ἐνδοξότερος, παλαιὸς, παλαιότερος, πρᾶος, πραότερος. εἰ δὲ βραχεῖα εἴη, τὸ ο μικρὸν εἰς ω μέγα τρέπεται. οἷον ὠφέλιμος, ὠφελιμώτερος. νέος, νεώτερος. σοφὸς, σοφώτερος.

Ομοίως καὶ τὰ ὑπερθετικὰ προσθέσει τοῦ τατος σχηματίζονται. οἷον, ἔνδοξος ἐνδοξότατος. παλαιὸς, παλαιότατος. νέος, νεώτατος. ὠφέλιμος, ὠφελιμώτατος. πλὴν μέγας μείζων μέγιστος. Καλὸς, καλλίων, κάλλιστος. ἀγαθὸς ἀμείνων, ἢ βελτίων, ἢ κρείττων, βέλτιστος, ἄριστος, κράτιστος, πολὺς, πλείων, πλεῖστος. κακὸς, κακίων. ἢ χείρων κάκιστος. μικρὸς μείων, ἢ ἥττων, ἢ ἐλάττων, ἐλάχιστος. αἰσχρὸς, αἰσχίων. αἴσχιστος. αἰχθρὸς, ἐχθίων. ἔχθιστος. ῥᾴδιος, ῥᾴων, ῥᾷστος. φίλος δὲ κατὰ συγκοπὴν ποιεῖ φίλτατος.

Τὰ δὲ εἰς ης, διὰ τοῦ ους τὴν γενικὴν ποιοῦντα ἀπὸ

εἰσὶ δὲ οἵδε ἤ, ἤτοι ἠέ.

Τ ίνες εἰσὶ συναπτικοί; ὅσοι ὕπαρξιν μὲν οὐ δηλοῦσι σημαίνουσι δὲ ἀκολουθίαν. καὶ τάξιν. εἰσὶ δὲ οἵδε εἰ, εἴπερ, εἰδή, εἰδήπερ.

Τ ίνες εἰσὶ παρασυναπτικοί. ὅσοι μεθ' ὑπάρξεως, καὶ τάξιν δηλοῦσιν. εἰσὶ δὲ οἵδε ἐπεί, ἐπείπερ. ἐπειδή, ἐπειδήπερ.

Τ ίνες εἰσὶν αἰτιολογικοί; ὅσοι ἐπ' ἀποδόσει αἰτίας παραλαμβάνονται. εἰσὶ δὲ οἵδε, ἵνα, ὄφρα, ὅπως, ἕνεκα, οὕνεκα, γάρ, καθὸ, καθότι, καθόσον. καὶ διὸ, διότι. παρὰ τοῖς νῦν ἃ οἱ παλαιοὶ διήρουν.

Τ ίνες εἰσὶν ἀπορρηματικοί; ὅσοις ἐπ' ἀποροῦντες εἰώθαμεν χρῆσθαι, εἰσὶ δὲ οἵδε, ἆρα, κἆτα, μῶν.

Τ ίνες εἰσὶ συλλογιστικοί; ὅσοι πρὸς τὰς ἐπιφοράς τε, καὶ συλλήψεις τῶν ἀποδείξεων εὖ διάκεινται. εἰσὶ δὲ οἵδε, ἄρα, ἀλλά, ἀλλαμὴν, τοίνυν, τοιγάρτοι, τοιγαροῦν.

Τ ίνες εἰσὶ παραπληρωματικοί; ὅσοι μέτρου, ἢ κόσμου ἕνεκεν παραλαμβάνονται. εἰσὶ δὲ οἵδε, δή, ῥά, νύ. ὃ καὶ νῦν γράφεται. ἀφ' οὗ τὸ τοίνυν, πού, τοί, θήν, ἄρ, δῆτα, πέρ, πῶ, μήν, ἄν, αὖ, οὖν, κέν, γέ.

Τ ίνες δὲ προστιθέασι, θαυμαστικούς.

Τ ίνες εἰσὶν θαυμαστικοί; οἱ δηλοῦντές τι θαυμάσιον. τῇ δυνάμει τοῦ πράγματος. οἷον, ἵμπης. ὅμως.

Ι στέον ὅτι πολλοὶ σύνδεσμοι οἱ αὐτοὶ τῶν πολλῶν πρό

Τῶν δὲ τοπικῶν σχέσεις εἰσὶ τρεῖς· ἢ ἐν τόπῳ, ἢ εἰς τόπον. ἢ ἐκ τόπου. οἷον, οἴκοι. οἴκαδε. οἴκοθεν, ἢ εὐχῆς σημαντικά. οἷον, εἴθε, αἴθε. ὤφελον. ἢ σχετλιαστικά. οἷον, οὐαί. ἰού. ὤμοι. οἴμοι. παπαί. ἢ θαυμαστικά. οἷον, βαβαί. φεῦ. ἢ ἀρνητικά. οἷον, οὔ, οὐδαμῶς. οὔκουν. ἢ παραβολῆς, ἢ ὁμοιώσεως. οἷον, ὡς. ὥσπερ, καθά. καθάπερ. ἠΰ. ἠΰτε. ἢ εἰκασμοῦ. οἷον, ἴσως. τάχα. τυχόν. ἢ τάξεως, οἷον ἑξῆς. ἐφεξῆς. ἢ ἀθροίσεως. οἷον, ἄρδην. ἅμα. ὁμοῦ. ἅλις. αὐτὶ τοι αὐτάρκως. ἢ παρακελεύσεως. οἷον, ἄγε. εὖγε. φέρε. δεῦτε. εἶα. δεῦρο. ἴθι. ἢ συγκρίσεως. οἷον, μᾶλλον, ἧττον. ἢ ἐρωτήσεως. οἷον πόθεν. ποῦ, πηνίκα. πῶς. ἢ ἐπιτάσεως. οἷον, λίαν. ἄγαν. πάνυ. μάλιστα. σφόδρα. ἢ βεβαιώσεως. οἷον, δηλαδή. δήπουθεν. πάντως. ὄντως, ἢ θετικά. οἷον, ἀναγνωστέον. πλευστέον, ἢ κατωμοτικά. οἷον, νή. ναί. ἢ ἀπωμοτικά. οἷον, μά. ἢ θειασμοῦ. οἷον, εὐοῖ. εὐαί.

Περὶ συνδέσμων.

Πόσοι τρόποι τῶν συνδέσμων; ὀκτώ. οἱ μὲν γάρ εἰσι συμπλεκτικοί. οἱ δὲ διαζευκτικοί. οἱ δὲ συναπτικοί. οἱ δὲ παρασυναπτικοί, οἱ δὲ αἰτιολογικοί, οἱ δὲ ἀπορρηματικοί. οἱ δὲ συλλογιστικοί, οἱ δὲ παραπληρωματικοί.

Τίνες εἰσὶ συμπλεκτικοί; ὅσοι τὴν ἑρμηνείαν ἐπ᾽ ἄπειρον ἐκφερομένην συνδέουσιν. εἰσὶ δὲ οἵδε, μέν, δέ, τέ, καί, ἀλλά, ἠμέν, ἠδέ, ἰδέ, ἀτάρ, αὐτάρ, ἤτοι, κέν, ἄν.

Τίνες εἰσὶ διαζευκτικοί; ὅσοι τὴν μὲν φράσιν συνδέουσιν. ἀπὸ δὲ πράγματος εἰς πρᾶγμα διιστῶσιν,

μαυτῆς σαυτῆς, καὶ ἑαυτῆς. τὰ δ᾽ ἕτερα ἐμαυτοῦ, σαυτοῦ, καὶ ἑαυτοῦ, καὶ ταῦτα δὲ ταῖς κλίσεσι τῶν ὀνομάτων ὑποπέπτωκε.

Η ἐμαυτοῦ δὲ καὶ σαυτοῦ ἐν τοῖς πληθυντικοῖς οὐ κατὰ σύνθεσιν, ἀλλὰ διῃρημένως κλίνονται. οἷον ἡμῶν αὐτῶν. ἡμῖν αὐτοῖς, ἡμᾶς αὐτούς.

Η δὲ ἑαυτοῦ καὶ κατὰ συναίρεσιν καὶ διῃρημένως κλίνεται. καὶ γὰρ ἑαυτῶν, καὶ σφῶν αὐτῶν, καὶ σφίσιν αὐτοῖς, καὶ ἑαυτοῖς, καὶ σφᾶς αὐτούς, καὶ ἑαυτούς, καὶ ἐπὶ τῶν ἄλλων, ὁμοίως.

Περὶ προθέσεως.

Πόσαι προθέσεις; δέκα καὶ ὀκτώ. μονοσύλλαβοι μὲν ἕξ. ἐν. εἰς. ἐξ. σύν. πρός. πρό. δισύλλαβοι δὲ δύο καὶ δέκα, ἀνά. κατά. διά. μετά. παρά. ἀντί. ἐπί. περί. ἀμφί. ἀπό. ὑπό. ὑπέρ.

Ἰστέον, ὅτι καὶ τινα ἐπιρρήματα ἀντὶ προθέσεων λαμβάνονται. ἃ ὡς ἐπὶ τὸ πλεῖστον τῇ γενικῇ συντάσσεται. οἷον, ἄνευ, μέχρι, καὶ τὰ λοιπά.

Περὶ ἐπιρρήματος.

Ποσαχῶς τὰ ἐπιρρήματα; πολλαχῶς. ἢ γὰρ χρόνου δηλωτικά εἰσιν. οἷον, νῦν τότε αὖθις. τόφρα. ὄφρα. τέως. ἕως. πηνίκα. ἡνίκα. ἄψ. ἔπειτα, μετέπειτα. ἢ καιροῦ παραστατικά. οἷον, σήμερον. αὔριον. χθές. ὃ καὶ ἐχθὲς λέγεται. ἢ μεσότητος. οἷον, καλῶς. σοφῶς. ἢ ποσότητος, οἷον, δίς. τρίς. τετράκις. πεντάκις. πολλάκις. ὀλιγάκις. ἢ ποιότητος. οἷον, βοτρυδόν. ἀγεληδόν. ἢ τοπικά. οἷον, ἄνω. κάτω. ἔξω. ἔσω. πόρρω. ἐνώπιον. κατὰ μόνας. χαμαί. ἔνθεν. ἔνθα. ὅθεν. ἐπέκεινα. μακράν.

τῶν ὀνομάτων κλίσεις. ἐκείναις ὑποπίπτουσι.

Γ ὅσαι δεικτικαί; δύο. οὗτος, ὁ τὸ θηλυκὸν αὕτη, τὸ οὐδέτερον τοῦτο, καὶ ἐκεῖνος, ὁ τὸ θηλυκὸν, ἐκείνη. τὸ οὐδέτερον ἐκεῖνο. χρώμεθα δὲ τῇ ἐκεῖνος ἀντὶ τῆς ῥηθείσης πρωτοτύπου, ἀντωνυμίας ὅς, διὰ τὸ ἐκείνην εἶναι ἄχρηστον. τὸ ἐκεῖνος δὲ καὶ ὄνομα ἀναφορικὸν λέγεται.

Κ λίνεται δὲ ἡ οὗτος ἀντωνυμία, οὕτως. οὗτος, τούτου, τούτῳ, τοῦτον, ὦ οὗτος. τὰ δυϊκά, τούτω, τούτοιν, ὦ τούτω. τὰ πληθυντικὰ, οὗτοι, τούτων, τούτοις, τούτους, ὦ οὗτοι. τὸ θηλυκὸν, αὕτη. ταύτης. ταύτῃ. ταύτην, ὦ αὕτη. τὰ δυϊκὰ, ταῦτα ταύταιν. ὦ ταῦτα. τὰ πληθυντικὰ, αὗται, ταύτων, ταύταις. ταύτας. ὦ αὗται. τὸ οὐδέτερον, τοῦτο. τούτου. τούτῳ. τοῦτο. ὦ τοῦτο. τὰ δυϊκὰ, τούτω. τούτοιν. ὦ τούτω. τὰ πληθυντικά, ταῦτα, τούτων. τούτοις. ταῦτα. ὦ ταῦτα.

Ο ἐκεῖνος, καὶ ἡ ἐκείνη, καὶ τὸ ἐκεῖνο ταῖς κλίσεσι τῶν ὀνομάτων ὑποπέπτωκε.

Γ ὅσαι ὑποτακτικαί; μία. ἐπὶ τῶν τριῶν γενῶν λεγομένη. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν τριῶν προσώπων. οἷον, αὐτὸς ἀντὶ τοῦ ἐγώ, καὶ ἀντὶ τοῦ σύ. καὶ ἀντὶ τοῦ ἐκεῖνος. καὶ αὐτὴ ἐπὶ τοῦ θηλυκοῦ, καὶ αὐτὸ ἐπὶ τοῦ οὐδετέρου. καὶ ταῦτα δὲ ταῖς κλίσεσι τῶν ὀνομάτων, ὑποπέπτωκε.

Γ ὅσαι συνθετικαὶ ἀντωνυμίαι; τρεῖς. ἑκάστη ἐπὶ τῶν τριῶν γενῶν λεγομένη. διότι δὲ ἐπὶ αὐτοπαθείας λαμβάνεται. εὐθείας οὐκ ἔχουσιν αἱ γενικαὶ δὲ τούτων ἐμαυτοῦ, σαυτοῦ, καὶ ἑαυτοῦ. τὰ θηλυκὰ ἐ-

σφῶ. ἡ γενικὴ, καὶ δοτικὴ, τῶν δυϊκῶν σφῶϊν, καὶ σφῶν. τὰ πληθυντικά. ὑμεῖς. ὑμῶν. ὑμῖν. ὑμᾶς.

Π ὡς κλίνεται ἡ ὃς ἀντωνυμία; οὕτως. ὃς ἄχρηστον ἐπὶ τῆς εὐθείας, ἐπὶ δὲ τῶν ἄλλων πτώσεων, ἐν χρήσει. ἡ γενικὴ, οὗ. ἡ δοτικὴ, οἷ. ἡ αἰτιατικὴ, ἕ. ἐν τοῖς δυϊκοῖς σφωὲ, καὶ σφὲ. ἐπὶ αἰτιατικῆς μόνον, καὶ σφὶν ἐπὶ τῆς δοτικῆς. τὰ πληθυντικά σφέες. σφεῖς. σφέων, σφῶν. σφίσι. σφέας, σφᾶς.

Π όσαι κτητικαί; ὀκτώ. ἀπὸ τῶν εἰρημένων πρωτοτύπων παραγόμεναι. ὧν ἑκάστη τριχῶς κατὰ γένη λέγεται. ὅταν εἷς μόνος ἔχῃ τὸ κτῆμα ἀπὸ τῶν ἑνικῶν τῆς ἐγὼ ἀντωνυμίας, ὁ ἐμὸς. ἡ ἐμὴ. τὸ ἐμόν. ὅταν δύο μετέχωσι τοῦ κτήματος ἀπὸ τῶν δυϊκῶν ὁ νωΐτερος. ἡ νωϊτέρα. τὸ νωΐτερον. ὅταν πλείους μετέχωσι τοῦ κτήματος. ἀπὸ τῶν πληθυντικῶν, ὁ ἡμέτερος. ἡ ἡμετέρα. τὸ ἡμέτερον.

Α πὸ τῆς σὺ ἀντωνυμίας. ὁ σός. ἡ σή. τὸ σόν. ὁ σφωΐτερος. ἡ σφωϊτέρα τὸ σφωΐτερον. ὁ ὑμέτερος. ἡ ὑμετέρα τὸ ὑμέτερον.

Α πὸ τῆς ὃς ἀντωνυμίας. ὅταν εἷς ἔχῃ τὸ κτῆμα. ὁ ἑός. ἡ ἑή. τὸ ἑόν. ὅταν δύο μετέχωσι τοῦ κτήματος οὐκ ἔχει. ὅταν πλείους μετέχωσι τοῦ κτήματος, ὁ σφέτερος. ἡ σφετέρα. τὸ σφέτερον. ὥστε κτητικαὶ, ὡς εἴρηται, ἀντωνυμίαι ὀκτώ. ἐμός. σός. ἑός. νωΐτερος. σφωΐτερος. ἡμέτερος διὰ τοῦ η, καὶ ὑμέτερος διὰ τοῦ υ ψιλοῦ, καὶ σφέτερος.

Κ λίνονται δὲ πᾶσαι ἀπαραλλάκτως κατὰ τὰς

Εὐκτικά.

Ἐνεστώς. εἴην, εἴης, εἴη. εἴητον, εἰήτην. εἴημεν, εἴητε. εἴησαν, καὶ εἶεν.

Μέλλων. ἐσοίμην, ἔσοιο, οιτο. οίμεθον, οισθον, οίσθην. οίμεθα, σθε, οιντο.

Ὑποτακτικά.

Ἐνεστώς, ἐὰν ὦ, ἐὰν ἦς. ἐὰν ᾖ. ἐὰν ἦτον, ἦτον. ἐὰν ὦμεν, ἦτε, ὦσιν.

Ἀπαρέμφατα.

Ἐνεστώς. εἶναι. Μέλλων, ἔσεσθαι.

Μετοχή.

Ἐνεστώς, ὁ ὤν, τοῦ ὄντος. ἡ οὖσα, τῆς οὔσης. τὸ ὄν, τοῦ ὄντος.

Μέλλων. ὁ ἐσόμενος, τοῦ ἐσομένου. ἡ ἐσομένη, τῆς ἐσομένης. τὸ ἐσόμενον, τοῦ ἐσομένου.

Περὶ ἀντωνυμίας.

Πόσα εἴδη τῶν ἀντωνυμιῶν; πέντε. πρωτότυποι. κτητικαί. δεικτικαί. ὑποτακτικαί. καὶ σύνθετοι.

Πόσαι πρωτότυποι ἀντωνυμίαι; τρεῖς. ἐγώ. σύ. οὗ.

Πῶς κλίνεται ἡ ἐγὼ ἀντωνυμία; οὕτως. ἐγώ. ἐμοῦ. ἐμοί. ἐμέ. κλητικὰς αἱ πρωτότυποι ἀντωνυμίαι οὐκ ἔχουσιν. ἡ εὐθεῖα, καὶ αἰτιατικὴ τῶν δυϊκῶν, νῶϊ, καὶ νῶ. ἡ γενικὴ, καὶ δοτικὴ τῶν δυϊκῶν. νῶϊν, καὶ νῷν. τὰ πληθυντικά. ἡμεῖς. ἡμῶν. ἡμῖν. ἡμᾶς

Πῶς κλίνεται ἡ σὺ ἀντωνυμία; οὕτως. σύ. σοῦ. σοί. σέ. ἡ εὐθεῖα καὶ ἡ αἰτιατικὴ τῶν δυϊκῶν σφῶϊ, καὶ

θητικοῖς καὶ ἐν τῇ παραληγούσῃ.

Κ αἱ πᾶν ἀπαρέμφατον, ἢ κυρίως δίφθογγον. ἢ καταχρηστικῶς ἔχει κατὰ τὴν τελευταίαν συλλαβήν. οἷον τύπτειν. γελᾶν. πλὴν τοῦ ζῶ, πεινῶ, διψῶ, χρῶ.

Κ αἱ ὁ παρακείμενος οὐδέ ποτε ἐκβάλλει τὴν αὔξησιν αὐτοῦ.

Κ αἱ ἐπὶ βαρυτόνων θεμάτων ἀεί, βραχεία παραλήγεται ὁ δεύτερος ἀόριστος.

Κ αἱ αἱ μετοχαὶ καὶ τὰ μετοχικὰ ὀνόματα, τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς.

Κ αἱ τὰ παραλήγοντα φωνήεντα ἐπὶ τῶν ἐν τέλει τῶν περισπωμένων συζυγιῶν ἀεὶ βραχέα εἰσί. Καὶ τὸ ε, κατὰ τοὺς παρῳχημένους προερχόμενον, καὶ ἀποπίπτον, ψιλοῦται. εἰ δὲ προέρχεται μὲν, οὐκ ἀποπίπτει δέ, ὅπερ ἐπὶ τοῦ παρακειμένου τῶν εἰς μι, ἐνίοτε συμβαίνει, τὸ πνεῦμα τοῦ ἐνεστῶτος ἔχει. οἷον, ἵστημι, στήσω, ἕστακα.

Ὑπαρκτικὸν ῥῆμα. Ὁριστικά.

Ε νεστὼς. εἰμί. εἶς, καὶ εἶ, ἐστί. ἐστόν, ἐστόν, ἐσμέν. ἐστέ, εἰσί.

Π αρατατικὸς. ἦν, ἦς, ἦ, καὶ ἦν, ἦτον, ἤτην. ἦμεν, ἦτε, ἦσαν.

Μ έλλων. ἔσομαι, ἔσαι, καὶ ἔσῃ, ἔσεται, ἐσόμεθον, ἔσεσθον, ἔσεσθον. ἐσόμεθα, ἔσεσθε, ἔσονται.

Προστακτικά.

Ε νεστὼς ἴσθι, καὶ ἔσο. ἔστω. ἔστον, ἔστων. ἔστε, ἔστωσαν.

κινεῖται ἔν τε τοῖς ἐνεργητικοῖς, καὶ ἐν τοῖς παθητικοῖς, καὶ εὐκτικὰ δὲ οὐδαμῶς ἔχουσιν, ἵνα μὴ εὑρεθῇ ἡ υι δίφθογγος ἡ διὰ τοῦ υ ψιλοῦ, καὶ ι, πρὸ τοῦ μ, καθόλου γὰρ ἡ τοιαύτη δίφθογγος οὐκ ἐθέλει σύμφωνον ἐπακολουθεῖν, ἀλλὰ φωνῆεν ἀεί, ἀλλ' οὐδὲ ὑποτακτικὰ οὐδαμῶς ἔχουσιν.

Ἐν πᾶσιν ἁπλῶς τοῖς εἰς μι, ῥήμασιν, εἴτινα περὶ τῆς χρήσεως φαίνοιντο ἑτέρως ἔχοντα ἀπὸ τῶν ἰδίων βαρυτόνων ἢ περισπωμένων κανονίζονται. οἷον, ἀπὸ τοῦ τιθέω, καὶ τιθῶ. καὶ ἀπὸ τοῦ ἱστάω, καὶ ἱστῶ. τοῦτο δὲ καὶ ἱσταίνω, καὶ στήκω, καὶ ἑστήκω λέγεται. καὶ ἀπὸ τοῦ διδόω, καὶ διδῶ. καὶ ἀπὸ τοῦ ζευγνύω. ἐκεῖνα δὲ χωρὶς ἀναδιπλασιασμῶν πρότερον τυγχάνει. δηλονότι θῶ, καὶ στῶ, καὶ δῶ, καὶ περὶ τῶν ἄλλων ὁμοίως. εἴ τινα γοῦν φαίνοιντο περὶ τῆς χρήσεως ἑτέρως ἔχοντα, ἀφ' ἑτέρων τούτων καὶ τῶν τοιούτων κανονίζονται θεμάτων. τοῦτο δὲ καὶ περὶ τῶν βαρυτόνων συμβαίνει, καὶ πειρατέον ἕκαστον εἰς τὸ ἴδιον θέμα ἀνάγειν. κἂν ἄχρηστον τοῦτο ᾖ. ἥγε μὴν ἀκολουθία τῶν εἰς μι, ῥημάτων ἀκριβῶς αὕτη τυγχάνει.

Ἐν πᾶσιν ἁπλῶς τοῖς ῥήμασι καθόλου τὰ δεύτερα πρόσωπα τῶν προστακτικῶν βραχυκαταληκτοῦσι.

Καθόλου τὰ τρίτα πρόσωπα τῶν προστακτικῶν διὰ τοῦ ω μεγάλου γράφεται.

Καὶ πᾶν εὐκτικὸν διφθόγγῳ παραλήγεται.

Καὶ πᾶν ὑποτακτικὸν ἐν μὲν τοῖς ἐνεργητικοῖς τὸ η, θέλει ἔχειν, ἢ τὸ ω μέγα ἐν τῇ ληγούσῃ, ἐν δὲ τοῖς πα-

σῶντες αὐτῶν δύνανται καὶ τοῦ βαρυτόνου σχηματίζεσθαι.

Ἀπαρέμφατα.

Ἐνεστὼς, ζευγνύναι, οἱ ἄλλοι χρόνοι ἐλλείπουσι.

Μετοχαὶ ἐνεργητικαί.

Ὁ ἐνεστὼς, καὶ παρατατικὸς, ὡς εἴρηται.

Ὁ ζευγνὺς, τοῦ ζευγνῦντος. ἡ ζευγνῦσα, τῆς ζευγνύσης. τὸ ζευγνῦν τοῦ ζευγνῦντος. λέγεται δὲ καὶ τοῦ βαρυτόνου τὸ ζευγνύον τοῦ ζευγνύοντος.

Ὁριστικὰ παθητικά.

Ἐνεστὼς, ζεύγνυμαι, σαι, ται. θον, σθον, σθον. νύμεθα, σθε, νυνται.

Παρατατικὸς, ἐζευγνύμην, σο, το. μεθον, σθον, σθην. μεθα, σθε, γνυντο.

Προστακτικὰ, ἐνεστὼς. ζεύγνυσο, σθω. σθον, σθων. σθε, νύσθωσαν.

Ἀπαρέμφατα.

Ἐνεστὼς, ζεύγνυσθαι.

Μετοχικὰ παθητικά.

Ἐνεστὼς. ὁ ζευγνύμενος.

Σημείωσαι, ὅτι τὸ τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ ἐνεργητικοῦ ἐνεστῶτος τὸ ζεύγνυσι, καὶ ζευγνύασιν ἐλλείπει ἐν χρήσει δὲ ἀπὸ τοῦ βαρυτόνου. τὸ ζευγνύουσιν. ὁμοίως καὶ τὸ δεικνύουσι. ῥηγνύουσι. πηγνύουσι. σβεννύουσι. καὶ τἄλλα τῶν εἰς μι, τὰ παραληγόμενα τῷ υ ψιλῷ, τῇ δοτικῇ τῶν πληθυντικῶν τῆς μετοχῆς τοῦ βαρυτόνου ῥήματος ὁμοφωνεῖ.

Ἡ τετάρτη συζυγία τῶν εἰς μι, ἄχρι τοῦ παρατατικοῦ

διὰ τῆς ο, καὶ ι, διφθόγγου γράφεται. ἡ δευτέρα γὰρ, καὶ ἡ τρίτη συζυγία τῶν περισπωμένων, ὁμοίως τοῖς ὁριστικοῖς κλίνει τὰ ὑποτακτικά. τὸ τρίτον δὲ ἑαυ διαλλάττει, καὶ τὰ λοιπὰ πρῶτα πρόσωπα αὐτοῦ διὰ τοῦ ω μεγάλου.

Σημείωσαι δὲ ἁπλῶς ἐπὶ πάντων τῶν ῥημάτων ὅτι ἐπὶ τῶν ἄλλων πασῶν ἐγκλίσεων, πλὴν τῶν ὁριστικῶν, ὁ ἐνεστὼς, καὶ ὁ παρατατικὸς συνίασι, καὶ ὁ παρακείμενος, καὶ ὁ ὑπερσυντέλικος καθὰ καὶ ἄνω εἴρηται. ὥστε ὁ γραφόμενος ἐπὶ πάντων ἐνεστὼς ὁ αὐτὸς καὶ παρατατικὸς νοεῖται. καὶ ὁ γραφόμενος παρακείμενος ὁ αὐτὸς καὶ ὑπερσυντέλικος· καλεῖται δὲ ἀφ' οὗ παράγεται.

Συζυγία τετάρτη τῶν εἰς μι.

ὁριστικὰ ἐνεργητικά.

Ἐνεστὼς, ζεύγνυμι, ζεύγνυς, γνυσι. νυτον, τον. ζεύγνυμεν, νυτε, γνυσι. ζευγνύασι δὲ, οὐ λέγεται, ἀλλὰ ζευγνύουσι.

Παρατατικὸς, ἐζεύγνυν, γνυς, γνυ. ἐζεύγνυτον, νύτην. ἐζεύγνυμεν, νυτε, νυσαν. οἱ δὲ ἄλλοι χρόνοι, πλὴν τοῦ ἐνεστῶτος, καὶ τοῦ παρατατικοῦ, ἐπὶ τῆς τετάρτης συζυγίας τῶν εἰς μι, ἐξέλιπον ἐπί τε τῶν ἐνεργητικῶν, καὶ τῶν παθητικῶν.

Προστακτικὰ ἐνεργητικά.

Ἐνεστὼς, ζεύγνυθι, καὶ γνυ, γνύτω. γνυτον, γνύτων. νυτε, νύτωσαν.

Τὰ εὐκτικὰ, καὶ ὑποτακτικὰ, καθόλου ἐπὶ τῆς τετάρτης συζυγίας τῶν εἰς μι, ἐξέλιπον ἐπί τε τῶν ἐνεργητικῶν, καὶ τῶν παθητικῶν. ὅμως δὲ οἱ ἐνε-

στῶτος

ἄχρηστος, καὶ γὰρ οὐδὲ τὸ ἔδωκα ὥσπερ οὐδὲ τὸ ἔθηκα οὐδαμῶς περαιτέρω πρόεισι, καὶ ἡ αἰτία ἐπ' ἐκείνου εἴρηται, χάριν δὲ παραδείγματος μόνου τοῦ σχηματισμοῦ τῶν ἄλλων μετὰ πασῶν τῶν ἐγκλίσεων ἐνταῦθα τίθενται.

Ἐπὶ τοῦ προστακτικοῦ παθητικοῦ ἐνεστῶτος ἐν δευτέρῳ προσώπῳ βέλτιον τὸ δίδοσο, ἵνα μὴ συνεμπέσῃ τῷ ἰδίῳ ἐνεργητικῷ.

Ὁ μέσος δεύτερος ἀόριστος δοῦ δόσθω, ἀφ' οὗ ἀπόδου ἀποδόσθω, τοῦ διδοίμην εὐκτικοῦ ἐνεστῶτος τὰ δεύτερα. καὶ τὰ τρίτα πρόσωπα, οἱ μὲν δίδοιο, καὶ δίδοιτο προπαροξυτόνως, οἱ δὲ διδοῖο, καὶ διδοῖτο γράφουσιν, οἱ μὲν κατὰ τὴν ἀκολουθίαν τῶν βαρυτόνων, οἱ δὲ κατὰ τὴν ἀκολουθίαν τῶν περισπωμένων δηλονότι, ὁμοίως δὲ καὶ ἐπὶ τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν.

Τοῦ δοθείην παθητικοῦ ἀορίστου ἐπὶ τοῦ πληθυντικοῦ τρίτου προσώπου μᾶλλον ἐν χρήσει τὸ δοθεῖεν.

Τοῦ ἐὰν διδῶμαι ὑποτακτικοῦ παθητικοῦ ἐνεστῶτος, τὸ δεύτερον πρόσωπον οἱ πλείους μὲν ἐὰν διδῷ λέγουσιν, ἵνα ὁμόφωνον ᾖ τῷ τρίτῳ προσώπῳ τοῦ ἰδίου ἐνεργητικοῦ. ἢ ἵνα ἀπὸ τοῦ τρίτου γίνεται ἀποκοπῇ τῆς τελευταίας συλλαβῆς, τινὲς δὲ διὰ τῆς ο, καὶ ι, διφθόγγου λέγουσιν, ἐὰν διδοῖ. ἴσως ἀπὸ τοῦ περισπωμένου, κατὰ μίμησιν τοῦ ἐὰν χρυσόωμαι, ἐὰν χρυσῶμαι, ἐὰν χρυσόῃ, ἐὰν χρυσοῖ, ἐκεῖνο γὰρ διὰ τῆς ο, καὶ ι, διφθόγγου γράφεται καὶ ἐπὶ τοῦ ἐνεργητικοῦ, ἐὰν χρυσόῃς, ἐὰν χρυσοῖς, ἐὰν χρυσόῃ, ἐὰν χρυσοῖ, τὸ περισπώμενον

Ε νεςὼς, ἐὰν διδῶμαι, ἐὰν διδῷ, ἐὰν διδῶται, μέ-θον, σθον, σθον. μεθα, σθε, ῶνται.

Π αρακείμενος, ἐὰν δεδῶμαι, ἐὰν δεδῷ, δῶται, καὶ τὰ λοιπὰ ὁμοίως.

Α όριστος ά, ἐὰν δοθῶ, θῇς, ὡς ἐὰν τυφθῶ, φθῇς.

Μ έσος ἀόριστος ά, ἐὰν δώκωμαι δώκῃ, ὡς ἐὰν τύψωμαι, ἄχρηστος.

Μ έσος ἀόριστος, β'. ἐὰν δῶμαι, ἐὰν δῷ, δῶται.

Απαρέμφατα παθητικὰ, καὶ μέσα,

Ε νεςὼς, δίδοσθαι,

Π αρακείμενος, δεδόσθαι.

Α όριστος ά, δοθῆναι.

Μ έλλων ά, δοθήσεσθαι.

Μ έλλοντες γὰρ τοῖς προστακτικοῖς οὐκ εἰσίν. οὔτε γὰρ τοῖς ὑποτακτικοῖς. οἱ παρακείμενοι δὲ καὶ οἱ ἀόριστοι, κατὰ τὴν σημασίαν, μέλλοντές εἰσι. καλοῦνται δὲ ἀφ᾽ ὧν παράγονται.

Απαρέμφατα ἐνεργητικά.

Ε νεστὼς, τύπτειν. παρακείμενος, τετυφέναι. μέσος τετυπέναι. ἀόριστος ά. τύψαι, ἀόριστος δεύτερος, τυπεῖν. μέλλων ά. τύψειν. μέλλων δεύτερος, τυπεῖν.

Τ ὰ ἀπαρέμφατα οὔτε πρόσωπα οὔτε ἀριθμοὺς ἔχει.

Ε ν πᾶσιν ἁπλῶς τοῖς ῥήμασιν. ὅτε τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ μ. πρὸ τῆς τελευταίας συλλαβῆς ἔχει, ἀποβάλλει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν.

Ο τε μὲν εἰς ι, ἢ εἰς ται λήγει, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, τότε ὁμοφωνοῦσι τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν δυϊκῶν. ὅτε δὲ μὴ οὕτως ἔχει, διαλλάττουσιν.

Μετοχαὶ ἐνεργητικαί.

νεστὼς, ὁ τύπτων, τοῦ τύπτοντος. ἡ τύπτουσα, τῆς τυπτούσης. τὸ τύπτον, τοῦ τύπτοντος.

Π αρακείμενος, ὁ τετυφὼς, τοῦ τετυφότος. ἡ τετυφυῖα. τῆς τετυφυίας. τὸ τετυφὸς, τοῦ τετυφότος. μέσος παρακείμενος. ὁ τετυπὼς, τοῦ τετυπότος. ἡ τετυπυῖα, τῆς τετυπυίας, τὸ τετυπὸς, τοῦ τετυπότος.

Α όριστος ά. ὁ τύψας, τοῦ τύψαντος. ἡ τύψασα, τῆς τυ

Α όριστος δεύτερος, τύπε. τυπέτω. τύπετον. τυπέτων. τύπετε. τυπέτωσαν.

Εὐκτικὰ ἐνεργητικά.

Ε νεστὼς, τύπτοιμι, τοις, τοι. τύπτοιτον. τυπτοίτην. τύπτοιμεν. τε. τοιεν.

Π αρακείμενος, τετύφοιμι. φοις. φοι. φοιτον, τετυφοίτην. φοιμεν. φοιτε. τετύφοιεν.

Μ έσος παρακείμενος, τετύποιμι. ποις. ποι. τον. τετυποίτην. ποιμεν. ποιτε. ποιεν.

Α όριστος ά. τύψαιμι. ψαις. ψαι. τον. ψαίτην. μεν. τε. εν. οὗτος ὁ ἀόριστος, καὶ αἰολικὸς λέγεται. καὶ συνηθέστερός ἐστι. λέγεται δὲ οὕτως. τύψεια. ας. ε. τυψείατον. άτην. μεν. τε. αν.

Α όριστος δεύτερος, τύποιμι. ποις. ποι. ποιτον. ποίτην. ποιμεν. ποιτε. ποιεν.

Μ ελλων ά. τύψοιμι. ψοις. ψοι. τον. την. τύψοιμεν. τε, εν.

Μ έλλων δεύτερος, τυποῖμι, τυποῖς, τυποῖ, τυποῖτον, τυποίτην, τυποῖμεν, τυποῖτε, τυποῖεν.

Υποτακτικὰ ἐνεργητικά.

Ε νεστὼς, ἐὰν τύπτω. ἐὰν πτῃς. ἐὰν πτῃ. πτητον. τον. ἐὰν πτωμεν. ἐὰν πτητε. ἐὰν πτωσιν.

Π αρακείμενος, ἐὰν τετύφω, φῃς, φῃ φητον, τον, φωμεν, φητε, φωσιν.

Μ έσος παρακείμενος, ἐὰν τετύπω, πῃς, πῃ, πητον, τον. πωμεν, πητε, πωσιν.

Α όριστος ά. ἐὰν τύψω, ψῃς, ψῃ. ητον, ητον, ωμεν, ητε. ωσιν.

Α όριστος δεύτερος, ἐὰν τύπω, πῃς, πῃ, πητον, πητον.

τύφαθον, τετύφατον. Π. τετύφαμεν, τετύφατε, τετύφασιν.

Μέσος παρακείμενος, τέτυπα, τέτυπας, τέτυπε. Δ. τετύπατον, τετύπατον. Π. τετύπαμεν, τετύπατε, τετύπασιν.

Υπερσυντέλικος, ἐτετύφειν, ἐτετύφεις, ἐτετύφει. ἐτετύφειτον, ἐτετυφείτην. ἐτετύφειμεν, ἐτετύφειτε, ἐτετύφεισαν.

Μέσος ὑπερσυντέλικος, ἐτετύπειν, ἐτετύπεις, ἐτετύπει. ἐτετύπειτον, ἐτετυπείτην, ἐτετύπειμεν, πειτε, πεισαν.

Αόριστος ά, ἔτυψα, ἔτυψας, ἔτυψε. ἐτύψατον, ἐτυψάτην. ἐτύψαμεν, ἐτύψατε, ψαν.

Αόριστος δεύτερος, ἔτυπον, ἔτυπες, ἔτυπε. ἐτύπετον, ἐτυπέτην. ἐτύπομεν, ἐτύπετε, ἔτυπον.

Μέλλων ά. τύψω, ψεις, ψει. τύψετον, τον. μεν, ψετε, ψουσιν.

Μέλλων δεύτερος, τυπῶ, τυπεῖς, τυπεῖ. τυπεῖτον, τον. τυποῦμεν, πεῖτε, ποῦσιν.

Προστακτικὰ ἐνεργητικά.

Ενεστώς, τύπτε, πτέτω. τύπτετον, πτέτων. τύπτετε, τυπτέτωσαν.

Παρακείμενος, τέτυφε, τετυφέτω. τετύφετον, φέτων. τετύφετε, φέτωσαν.

Μέσος παρακείμενος, τέτυπε, πέτω. τετύπετον, πέτων. πετε, πέτωσαν.

Αόριστος ά. τύψον, ψάτω. ψατον, ψάτων. ψάτε, ψάτωσαν.

ὁ τοῦ φράζω παρακείμενος, ἀλλὰ τὴν ἐπαλληλίαν τῶν δασέων πέφρακα λέγεται. ἰστέον δὲ, καὶ τὸ κέχρημαι, καὶ τὸ τέθημαι, καὶ ὅσα ἀπὸ δασέως ἐν τῷ ἐνεστῶτι ἄρχεται.

ὁ τοῦ ὀρύσσω παρακείμενος, καὶ ὀρώρυχα λέγεται προστιθεμένων ἀττικῶς τῶν ἀρκτικῶν δύο γραμμάτων τοῦ ἐνεστῶτος. τοῦτο δὲ γίνεται ἐπὶ τῶν ἀπὸ τοῦ α, ἢ ε, ἢ ο, ἐπὶ τοῦ ἐνεστῶτος ἀρχομένων. ὁμοίως καὶ ὁ ὑπερσυντέλικος. ὠρωρύχειν λέγεται. ἐπὶ τούτου δὲ καὶ τὸ ο, μεγεθύνουσιν.

ὁ τοῦ ψάλλω ἀόριστος, ἔψηλα λέγεται. ὅτι τὸ α τοῦ μέλλοντος τῶν διὰ ἀμεταβόλου ληγόντων ῥημάτων εἰς η τρέπεται ἐν τῷ ἀορίστῳ. οἷον, φαίνω, φανῶ, ἔφηνα, τὸ δὲ ε, εἰς ει δίφθογγον τρέπεται ἐν τῷ ἀορίστῳ. οἷον νέμω, νεμῶ, ἔνειμα. σπείρω, σπερῶ, ἔσπειρα. τὸ δὲ ε τοῦ μέλλοντος τῶν εἰρημένων ῥημάτων εἰς α τρέπεται ἐν τῷ παρακειμένῳ. οἷον σπείρω, σπερῶ, ἔσπαρκα. φθείρω, φθερῶ, ἔφθαρκα. στέλλω, στελῶ, ἔσταλκα.

Κλίσις δὲ προσωπικὴ ἐν τοῖς ἐνεργητικοῖς αὕτη.

Πρώτη συζυγία τῶν βαρυτόνων.

ὁριστικὰ ἐνεργητικά.

Ἐνεστώς, τύπτω, τύπτεις, τύπτει. δυϊκά, τύπτετον, τύπτετον. πληθυντικά, τύπτομεν, τύπτετε, τύπτουσιν.

Παρατατικός, ἔτυπτον, ἔτυπτες, ἔτυπτε. Δ. ἐτύπτετον. ἐτυπτέτην. Π. ἐτύπτομεν, ἐτύπτετε, ἔτυπτον.

Παρακείμενος, τέτυφα, τέτυφας, τέτυφε. Δ. τε-

σπερῶ. ἀόριστος ά. ἔσπειρα. μέλλων β'. σπαρῶ. ἀόριστος δεύτερος, ἔσπαρον. παρακείμενος, ἔσπαρκα. ὑπερσυντέλικος, ἐσπάρκειν. μέσος παρακείμενος ἔσπορα. μέσος ὑπερσυντέλικος, ἐσπόρειν.

Συζυγία ἕκτη.

Ενεστώς, ἱππεύω. παρατατικός, ἵππευον. μέλλων ά. ἱππεύσω, ἀόριστος ά. ἵππευσα. μέλλων β', ἱππευῶ. ἀόριστος β'. ἵππευον. παρακείμενος, ἵππευκα. ὑπερσυντέλικος ἱππεύκειν. μέσος παρακείμενος, ἵππευα. μέσος ὑπερσυντέλικος, ἱππεύειν.

Πόσοι χρόνοι ἐν τοῖς ὁριστικοῖς ἐνεργητικοῖς ἁπλῶς οἱ πάντες; δέκα, ἐνεστώς. παρατατικός, μέλλων ά. ἀόριστος ά. μέλλων β'. ἀόριστος β'. παρακείμενος. ὑπερσυντέλικος. μέσος παρακείμενος. μέσος ὑπερσυντέλικος. οἵ τινες τὸν τρόπον τοῦτον, καὶ οὐ κατὰ φυσικὴν τάξιν ὧδε ἐτάχθησαν κατὰ τὸ οἰκεῖον τῆς παραγωγῆς. ὥς τε φαίνεσθαι ἕκαστον αὐτῶν. ἐξ οὗ παράγεται. δηλονότι, ᾧ συντέτακται. καὶ διὰ τοῦτο δεῖ τούτους κατὰ συζυγίαν ἀναγινώσκειν.

Σημείωσαι, ὅτι οἱ δεύτεροι μέλλοντες, καὶ δεύτεροι ἀόριστοι, ὡσαύτως δὲ οἱ μέσοι παρακείμενοι, καὶ μέσοι ὑπερσυντέλικοι, ἐπὶ τινῶν μὲν εἰσὶν ἐν χρήσει, ἐπὶ τινῶν δὲ ἄχρηστοι. ἔξεστι δὲ καὶ μετὰ τούτων τῶν χρόνων τοῦτο λέγειν. τοῦτο μὲν οὖν ἀπὸ τῆς χρήσεώς ἐστιν εἰδέναι. σχηματισμὸς δὲ αὐτῶν, ὥς τε ὁλοσχερῶς εἰπεῖν ὁ εἰρημένος.

θυλικὸς ἀόριστος παρὰ ὁριστικῷ ἐνεργητικῷ ἀορίστῳ, καὶ ὁ προστακτικὸς τῷ προστακτικῷ, καὶ ἐπὶ τῶν ἄλλων χρόνων, καὶ ἐγκλίσεων ὁμοίως. ἐν τοῖς ῥήμασιν ἡ μὲν δὴ κλίσις χρονικὴ καθ' ἣν ὁ σχηματισμὸς τῶν χρόνων ἐν τοῖς ὁριστικοῖς φαίνεται. ἡ δὲ κλίσις προσωπικὴ καθ' ἣν ὁ σχηματισμὸς τῶν προσώπων καὶ ἀριθμῶν ἁπλῶς ἐν πᾶσι φαίνεται. λέγοιτο δ' ἂν καὶ κλίσις τις ἐγκλιτικὴ, καθ' ἣν ὁ σχηματισμὸς ἑκάστου χρόνου κατὰ τὰς διαφόρους ἐγκλίσεις φαίνοιτο. καὶ κλίσις διαθέσεων καθ' ἣν τὰ αὐτὰ ποιούμενα ἀλλήλοις ἐνεργητικὰ, καὶ παθητικὰ ἐν πάσαις ταῖς ἐγκλίσεσιν ἐφ' ἑκάστου χρόνου δείκνυται.

Κλίσις χρονικὴ ἐν τοῖς ὁριστικοῖς ἐνεργητικοῖς κατὰ πάσας τῶν βαρυτόνων συζυγίας.

Περὶ πρώτης συζυγίας τῶν βαρυτόνων. ἐνεστώς.

Τύπτω. παρατατικὸς, ἔτυπτον. μέλλων α', τύψω. ἀόριστος α'. ἔτυψα. μέλλων β', τυπῶ. ἀόριστος β', ἔτυπον. Π. τέτυφα. ὑπερσυντέλικος, ἐτετύφειν. μέσος παρακείμενος, τέτυπα. μέσος ὑπερσυντέλικος ἐτετύπειν.

Συζυγία δευτέρα.

Ἐνεστώς, λέγω. παρατατικὸς, ἔλεγον. μέλλων α', λέξω. ἀόριστος α', ἔλεξα. μέλλων δεύτερος, λεγῶ. ἀόριστος δεύτερος ἔλεγον. παρακείμενος λέλεχα, ὑπερσυντέλικος ἐλελέχειν. μέσος παρακείμενος λέλεγα. μέσος ὑπερσυντέλικος, ἐλελέγειν.

Τὰ μέντοι ἀπὸ τοῦ ε ἀρχόμενα θέματα, τοῖς ἰδίοις παρατατικοῖς συνάρχεται. οἷον, ῥάπτω, ἔρραφα. ῥαπίζω, ἐρράπικα.

Ὁ ὑπερσυντέλικος εἰ ἀπὸ συμφώνου ἄρχεται ὁ παρακείμενος προσλαμβάνει κατὰ τὴν ἀρχὴν τὸ ε, εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται ὁ παρακείμενος, ἀπὸ τοῦ αὐτοῦ ἄρχεται καὶ ὁ ὑπερσυντέλικος.

Ὁ μέλλων τὴν αὐτὴν ἄρχουσαν, ἥνπερ ὁ ἐνεστὼς ἔχει. πλὴν τῶν ῥημάτων τῆς πέμπτης συζυγίας, ἐν οἷς ἡ παραλήγουσα βραχεῖα θέλει εἶναι. καὶ τὸ ἔχω, ἕξω. τρέχω, θρέξω. τρέφω, θρέψω. ἃ τὰς δασείας ἐν τοῖς μέλλουσιν ἔχουσιν.

Ὁ μέσος παρακείμενος, τὴν αὐτὴν ἄρχουσαν ἀεὶ τῷ παρακειμένῳ ἔχει. πλὴν εἰ ἐν δισυλλάβοις μέλλουσι τὸ ε μόνον ἢ μετὰ τοῦ ι εὑρεθῇ. τότε γὰρ αὐτὸ εἰς ο τρέπει, ὁ μέσος παρακείμενος. οἷον, λείψω, λέλοιπα.

Ὁ δεύτερος ἀόριστος δὲ τὴν αὐτὴν ἄρχουσαν τῷ πρώτῳ ἀορίστῳ ἔχει. πλὴν ὅτι ἀεὶ τὴν παραλήγουσαν βραχεῖαν θέλει ἔχειν. οἷον, λείπω ἔλιπον.

Ὁ δεύτερος μέλλων τὴν αὐτὴν ἄρχουσαν τῷ πρώτῳ μέλλοντι ἔχει. πολλάκις δὲ καὶ τῷ δευτέρῳ ἀορίστῳ ἐν ταῖς ἄλλαις ἐγκλίσεσιν αἱ αὐξήσεις τῶν παρεληλυθότων ἀποβάλλονται. πλὴν τοῦ παρακειμένου, μόνος γὰρ ὁ παρακείμενος οὐδέποτε ἀποβάλλει τὴν αὔξησιν αὐτοῦ.

Τὰ παθητικὰ καὶ μέσα τὴν αὐτὴν ἄρχουσαν τοῖς ἰδίοις ἐνεργητικοῖς ἔχει. δηλονότι ὁ ὁριστικὸς πα-

α, ἢ ε, ἢ ο, ὁ παρατατικὸς χρονικῶς αὔξεται. Καὶ τὸ μὲν α εἰς η τρέπεται. οἷον ἀκούω, ἤκουον. Τὸ δὲ ο μικρὸν εἰς ω μέγα. οἷον, ὀμνύω, ὤμνυον. ἐν τισὶ καὶ τὸ ε προσλαμβάνεται. οἷον, ὁρῶ, ἑώρων.

Τὸ δὲ ε εἰς η. οἷον, ἔρχομαι, ἠρχόμην. πλὴν τῶν σεσημειωμένων, ἐν οἷς τὸ ι προσδεχόμενα, ει δίφθογγον ποιοῦσιν. οἷον, ἔχω, εἶχον. ἔπω, εἶπον. ἕλω, ἕλκω. ἕρπω. ἐῶ. ἑρπύζω. ἕπομαι. ἐργάζομαι. ἐθίζω. ἐστιῶ. ἐρύω. ἑλκύω. ἔθω. ἑστιάω. ἑῶ.

Τὸ δὲ ι, καὶ τὸ υ, καὶ τὰ μακρὰ τό τε η, καὶ τὸ ω, ἀμετάβλητα μένει. οἷον ἱδρύω, ἵδρυον, ὑβρίζω, ὕβριζον. ἠχῶ, ἤχουν. ὠφελῶ, ὠφέλουν. ἡ ει, καὶ ου δίφθογγος ἀμετάβλητοι εἰσὶν, ἡ οι δίφθογγος, τὸ μὲν ο, εἰς ω μέγα τρέπει, τὸ δὲ ι προσγράφεται. ἡ αι δίφθογγος τὸ α εἰς η τρέπει, τὸ δὲ ι προσγράφεται.

Εἰ δὲ ἀπὸ συμφώνου ἄρχεται τὸ θέμα ὁ παρατατικὸς συλλαβικῶς αὔξεται τὸ ε κατ᾽ ἀρχὰς προσλαμβάνων. οἷον τύπτω, ἔτυπτον. καὶ ἐὰν ἀπὸ ρ ἄρχηται, ἕτερον ρ προσλαμβάνει. οἷον ῥάπτω, ἔρραπτον.

Ὁ ἀόριστος, τὴν αὐτὴν ἀρχοῦσαν τοῦ παρατατικοῦ ἔχει.

Ὁ παρακείμενος, εἰ μὲν ἀπὸ μακρᾶς ἄρχεται ὁ παρατατικὸς ἢ φύσει, ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἄρχεται. εἰ δὲ ἀπὸ βραχείας, ἢ κοινῆς ἄρχεται ὁ παρατατικὸς, ἀναδιπλασιάζεται ὁ παρακείμενος.

μέλλοντος τὸ σ, ἢ τὸ ξ ἔχει. οἷον, νομίζω, νομίσω. πλάσσω, πλάσω. ὀρύσσω, ὀρύξω.

Η πέμπτη, διὰ τῶν τεσσάρων ἀμεταβόλων λ μ ν ρ, καὶ ἐπὶ τοῦ μέλλοντος αὐτὸ τὸ ἀμετάβολον ἔχει. οἷον, ψάλλω ψαλῶ, νέμω, νεμῶ. κρίνω, κρινῶ. αἴρω, ἀρῶ. καὶ ἐπὶ τοῦ μέλλοντος τὴν παραλήγουσαν ἀεὶ βραχεῖαν ἔχει, καὶ ἡ λήγουσα περισπᾶται.

Η ἕκτη, διὰ καθαροῦ τοῦ ω, καὶ ἐπὶ μέλλοντος τὸ σ ἔχει. οἷον, ἱππεύω ἱππεύσω. πλέω, πλεύσω. ἀκούω, ἀκούσω. ὥστε ἀνάγκη τὸν μέλλοντα ἀεὶ ἢ ξ, ἢ ψ, ἢ σ, ἢ ἀμετάβολον ἐπὶ τῆς ληγούσης ἔχειν.

Ο παρατατικὸς τὸ τοῦ ἐνεστῶτος σύμφωνον ἐπὶ τῆς ληγούσης ἔχει. ὁ δὲ ἀόριστος τὸ σύμφωνον τοῦ μέλλοντος.

Ο δὲ παρακείμενος, εἰ μὲν ὁ μέλλων διὰ τοῦ ψ, αὐτὸς διὰ τοῦ φ. εἰ δὲ ὁ μέλλων διὰ τοῦ ξ, αὐτὸς διὰ τοῦ χ. εἰ δὲ ὁ μέλλων διὰ τοῦ σ. ἢ ἀμεταβόλου, αὐτὸς διὰ τοῦ κ.

Ο ὑπερσυντέλικος τὸ τοῦ παρακειμένου σύμφωνον ἔχει.

Ο δεύτερος ἀόριστος. καὶ δεύτερος μέλλων, ἔτι δὲ ὁ μέσος παρακείμενος, καὶ ὁ μέσος ὑπερσυντέλικος τὸ τοῦ ἐνεστῶτος σύμφωνον ἔχουσι. ἂν δὲ δύο ἢ τὰ τοῦ ἐνεστῶτος σύμφωνα, τὸ πρῶτον ἔχουσι. πλὴν ἐφ' ὧν ὁ ἐνεστὼς δύο σς ἢ δύο ττ ἔχει. τότε γὰρ τὸ γ, ἔχουσι.

Ε ἰ μὲν ἀπὸ βραχέος φωνήεντος ἄρχεται τὸ θέμα

Τ Τί ἐστι ῥῆμα; μέρος λόγου ἄπτωτον, ἐνέργειαν, ἢ πάθος σημαῖνον.

Γ Πόσαι καταλήξεις τῶν ῥημάτων; τρεῖς, εἰς ω βαρύτονον. οἷον, τύπτω. εἰς ω περισπώμενον. οἷον, γελῶ, εἰς μι. οἷον, τίθημι.

Γ Πόσα παρέπεται τῷ ῥήματι; ὀκτώ. εἴδη. σχήματα. ἀριθμοί. ἐγκλίσεις. διαθέσεις. πρόσωπα. χρόνοι, καὶ συζυγίαι.

Γ Πόσαι ἐγκλίσεις; πέντε. ὁριστική. προστακτική. εὐκτική. ὑποτακτική. καὶ ἀπαρέμφατος.

Γ Πόσαι διαθέσεις; τρεῖς. ἐνέργεια. πάθος. μεσότης.

Γ Πόσα πρόσωπα; τρία. πρῶτον. δεύτερον, καὶ τρίτον.

Γ Πόσοι χρόνοι; ἕξ. ἐνεστώς. παρατατικός. παρακείμενος. ὑπερσυντέλικος. ἀόριστος, καὶ μέλλων.

Γ Πόσαι συζυγίαι; δεκατρεῖς, ἓξ τῶν βαρυτόνων. τρεῖς τῶν περισπωμένων. τέσσαρες τῶν εἰς μι.

Η Πρώτη συζυγία τῶν βαρυτόνων διὰ τίνος ἐκφέρεται; διὰ τοῦ β. ἢ π. ἢ φ. ἢ πτ. καὶ ὁ τοῦ μέλλοντος τὸ ψ ἔχει. οἷον, λείβω, λείψω. τέρπω, τέρψω. γράφω, γράψω. κόπτω, κόψω.

Η Δευτέρα διὰ τίνος ἐκφέρεται; διὰ τοῦ γ. ἢ κ. ἢ χ. ἢ κτ. ὁ δὲ τοῦ μέλλοντος τὸ ξ, ἔχει. οἷον, λέγω, λέξω. πλέκω, πλέξω. βρέχω, βρέξω. τίκτω. τέξω.

Η Τρίτη διὰ τοῦ δ. ἢ θ. ἢ τ. καὶ ὁ τοῦ μέλλοντος τὸ σ ἔχει. οἷον, ᾄδω, ᾄσω. πλήθω, πλήσω. ἀνύτω, ἀνύσω.

Η Τετάρτη διὰ τοῦ ζ. ἢ δύο σσ. ἢ ττ. καὶ ὁ τοῦ

προσγράφεται, τὰ δύο αα εἰς α μακρὸν, τὸ α, καὶ τὸ ω, εἰς ω μέγα.

Σ ημείωσαι, ὅτι καὶ ἄλλα ὀνόματα ἐπίτινων πτώσεων, συναιρεῖται. δεῖ ἰστέον, ὅτι τὸ υ, καὶ τὸ ε εἰς υ κιρνᾶται. οἷον βότρυες, βότρυς. τὸ υ, καὶ α, εἰς υ. οἷον βότρυας, βότρυς. τὸ ο, καὶ ε εἰς ου. οἷον βόες καὶ βοῦς. τὸ ο, καὶ α εἰς ου. οἷον, βόας, βοῦς, βόα, βοῦν.

Ι στέον, ὅτι ἐπὶ τῶν πληθυντικῶν πάντων, ἡ συναίρεσις γίνεται, εἰ καταβιβάσωσι τὰ τελικὰ φωνήεντα. πλὴν τῆς γενικῆς. αὕτη γὰρ τῇ γενικῇ τῶν ἑνικῶν ἀκολουθεῖ. οἷον, πήχεως, πήχεων.

Κ αἱ ἐπὶ τῆς τετάρτης κλίσεως τὰ καθαρὸν ἔχοντα τὸ ος, ἐν πάσαις ταῖς πτώσεσι συναιρεῖται. οἷον, ὁ νόος, οῦς. νόου, οῦ. νόῳ, ῷ. νόον οῦν. νόε, οῦ. νόω, ὠ. νόοιν, οῖν. νόω, ὼ. νόοι, οἱ. νόων, ὧν. νόοις, οῖς. νόους, νοῦς. νόοι, νοῖ.

Κ αθαρὸν δ' ἐστι. τὸ μὴ ἔχον ὄπισθε σύμφωνον.

Τ ὰ βραχέα φωνήεντα τὸ ε, καὶ τὸ ο πρὸ μακροῦ γράμματος, ἢ διφθόγγου συναιρούμενα, εἰς αὐτὸ μακρὸν ἐπαγόμενον συναιρεῖται.

Ε τι πᾶν δίχρονον πρὸ μακροῦ μὲν γράμματος, ἢ διφθόγγου, εἰς αὐτὸ τὸ μακρὸν συναιρεῖται. πρὸ ου τινοσοῦν δὲ ἄλλου εἰς ἑαυτό.

Μ ακροῦ φωνήεντος προηγουμένου ὁποῖον ἂν εἴη τὸ ἐπιφερόμενον, οὐδέ ποτε συναίρεσις γίνεται. γίνεται δὲ ἢ ἐκ δύο βραχέων, ἢ ἐκ βραχέος, καὶ μακροῦ ἀεὶ δὲ εἰς μακρόν. γίνεται δὲ οὕτως. εο, καὶ οε, καὶ οο, ου. εε, ει. εω, ω. εοιν, οιν.

Περὶ ῥήματος.

ὅσα καθόλου ἐν τούτοις, ὁμοία ἐστὶ τῇ τετάρτῃ κλίσει τῶν ἀσυναιρέτων.

Τ ὰ δύο οο εἰς τὴν ου δίφθογγον κιρνᾶται· τὸ ο, καὶ ι εἰς τὴν οι δίφθογγον. τὸ ο, καὶ α ὧδε μὲν τῆς αἰτιατικῆς τῶν ἑνικῶν, εἰς ω μέγα, ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν, δηλονότι τῶν ἄλλων ὀνομάτων, εἰς ου δίφθογγον, οἷον, βόας, βοῦς.

Πέμπτη κλίσις.

Π έμπτη κλίσις, τῶν συνῃρημένων, ἐστὶν ἐν τοῖς οὐδετέροις δηλονότι τῶν εἰς ας καθαρὸν, ἢ εἰς ρας ληγόντων οὐδετέρων ὧν ἡ γενικὴ κοινῶς διὰ τοῦ ατος, καὶ ἰωνικῶς διὰ τοῦ αος παραλήγουσα ὑπὲρ δισύλλαβος ὅσα, εἰς ως ἰσοσυλλάβως ποιεῖ τὸ συνῃρημένον.

Τ ὸ κρέας. τοῦ κρέατος κοινῶς, καὶ κρέαος ἰωνικῶς, καὶ κρέως ἀττικῶς. τῷ κρέατι, τῷ κρέαϊ, καὶ κρέα, τὸ κρέας, ὦ κρέας. τὼ κρέατε, καὶ κρέαε, καὶ κρέα, τοῖν κρεάτοιν, καὶ κρεάοιν. καὶ κρεῷν, ὦ κρέατε, καὶ κρέαε, καὶ κρέα. τὰ κρέατα, καὶ κρέαα, καὶ κρέα, τῶν κρεάτων, καὶ κρεάων, καὶ κρεῶν. τοῖς κρέασι, τὰ κρέατα, καὶ κρέαα. καὶ κρέα ὦ κρέατα, καὶ κρέαα, καὶ κρέα.

Τ ὸ κέρας, τοῦ κέρατος, καὶ κέραος, καὶ κέρως, τῷ κέρατι. καὶ κέραϊ, καὶ κέρα, τὸ κέρας, καὶ τὰ ἑξῆς, ὁμοίως.

Σ ημείωσαι δὲ ὅτι ἐπὶ πάντων τῶν οὐδετέρων ἡ αὐτή ἐστιν ὀρθὴ, καὶ αἰτιατικὴ, καὶ κλητική.

Τ ὸ ο, καὶ τὸ α εἰς ω μέγα κιρνᾶται. τὸ α, καὶ τὸ ι εἰς τὴν α δίφθογγον καταχρηστικήν. τὸ α, καὶ τὸ ε εἰς α μακρόν. τὸ α, καὶ ἡ οι δίφθογγος, εἰς ω, καὶ τὸ ι

συναιρεῖται.

Ο βασιλεὺς, τοῦ βασιλέος κοινῶς, καὶ βασιλῆος ἰωνικῶς, καὶ βασιλέως ἀττικῶς, τῷ βασιλέϊ, καὶ βασιλεῖ, καὶ βασιλῆϊ, τὸν βασιλέα, ἢ βασιλῆα, ὦ βασιλεῦ, καὶ βασιλεὺς. τὼ βασιλέε, ἢ βασιλῆε. τοῖν βασιλέοιν, καὶ βασιλήοιν. ὦ βασιλέε, ἢ βασιλῆε. οἱ βασιλέες, καὶ βασιλεῖς, καὶ βασιλῆες. τῶν βασιλέων, καὶ βασιλήων. τοῖς βασιλεῦσι. τοὺς βασιλέας, καὶ βασιλεῖς, καὶ βασιλῆας. ὦ βασιλέες, ἢ βασιλεῖς, καὶ βασιλῆες.

Σ ημείωσαι περὶ ταύτης τῆς τρίτης τῶν συνηρημένων κλίσεως. ὅτι τῶν εἰς ευ ληγόντων ἡ αἰτιατικὴ τῶν γενικῶν συναίρεσιν οὐκ ἐπιδέχεται.

Περὶ δʹ κλίσεως τῶν συνηρημένων.

Τ ετάρτη κλίσις τῶν συνηρημένων, ἐστὶν ἐν τοῖς θηλυκοῖς δηλονότι τῶν εἰς ω, ἢ εἰς ως, διὰ τοῦ ὀ μεγάλου ληγόντων θηλυκῶν ὀξυτόνων. ὧν ἡ γενική, διὰ τοῦ οος προέρχεται ἰσοσυλλάβως οὖσα, εἰς ους ἰσοσυλλάβως ποιεῖ τὸ συνηρημένον.

Η λητώ, τῆς λητόος, καὶ λητοῦς. τῇ λητόϊ, καὶ λητοῖ. τὴν λητόα, καὶ λητώ, ὦ λητοῖ. τὰ λητώ, ταῖν λητοῖν, ὦ λητώ. Αἱ λητοί, τῶν λητῶν, ταῖς λητοῖς, τὰς λητούς, ὦ λητοί.

Η αἰδώς. τῆς αἰδόος, καὶ αἰδοῦς. τῇ αἰδόϊ, καὶ αἰδοῖ. τὴν αἰδόα, καὶ αἰδῶ. ὦ αἰδοῖ. τὰ αἰδώ. ταῖν αἰδοῖν. ὦ αἰδώ. Αἱ αἰδοί. τῶν αἰδῶν. ταῖς αἰδοῖς. τὰς αἰδούς. ὦ αἰδοί.

Σ ημείωσαι, ὅτι ἡ τετάρτη κλίσις τῶν συνηρημένων ἐπὶ τῶν δυϊκῶν, καὶ τῶν πληθυντικῶν ἀσυναίρετος

πόλῃ. τὴν πόλιν μόνως ὦ πόλι, καὶ πόλις. τὰ πόλεε, ἢ πόλεε. ταῖν πολίοιν, καὶ πολέοιν, καὶ πόλεαν, ὦ πόλιε, καὶ πόλεε. Αἱ πόλιες, καὶ πόλις, καὶ πόλεες, καὶ πόλῃς. τῶν πολίων, καὶ πολίων, καὶ πόλεων. ταῖς πόλισι, ἢ πόλεσι, τὰς πόλιας, καὶ πόλις, καὶ πόλεας, ἢ πόλεις. ὦ πόλιες, καὶ πόλις, καὶ πόλεες, καὶ πόλεις.

Τ ὁ σίνηπι, τοῦ σινήπιος κοινῶς, καὶ σινήπεος ἰωνικῶς, καὶ σινήπεως ἀττικῶς. τῷ σινήπιι καὶ σινήπι, ἢ σινήπεϊ, καὶ σινήπει. τὸ σίνηπι. ὦ σίνηπι. τὼ σινήπιε, ἢ σινήπεε. τοῖν σινηπίοιν, καὶ σινηπέοιν, καὶ σινήπεων, ὦ σινήπιε, καὶ σινήπεε. τὰ σινήπια, καὶ σινήπι, καὶ σινήπεα καὶ σινήπη. τῶν σινηπίων, ἢ σινηπέων, καὶ σινήπεων. τοῖς σινήπισι, καὶ σινήπεσι. τὰ σινήπεα, καὶ σινήπι, καὶ σινήπεα, ἢ σινήπη. ὦ σινήπια, καὶ σινήπι, ἢ σινήπεα, καὶ σινήπη.

Σ σημείωσαι, ὅτι τὰ ὑπερδεχόμενα ἀττικὰ, συναίρεσιν οὐκ ὑπερδέχονται, οὔτε ἐν ταῖς γενικαῖς τῶν ἑνικῶν, οὔτε ἐν ταῖς γενικαῖς τῶν πληθυντικῶν, οὔτε ἐν τοῖς δυϊκοῖς ὅλως. καὶ ἀνάπαλιν τὰ ὑπερδεχόμενα ἐν ταύταις ταῖς πτώσεσι συναίρεσιν ἀττικὰ οὐχ ὑπερδέχεται.

Τ ἀ δύο ι ι εἰς ι μακρὸν κιρνᾶται. τὸ ι, καὶ ε εἰς ι μακρὸν. τὸ ι, καὶ α εἰς ι μακρόν.

Περὶ γ΄. κλίσεως τῶν συνῃρημένων.

Τ ἐστὶ κλίσις τῶν συνῃρημένων ἡ ἐν τοῖς ἀρσενικοῖς δηλονότι τῶν εἰς ευς ληγόντων, ἀρσενικῶν ὀνομάτων. ἃ κοινῶς διὰ τοῦ εος κλινόμενα ἰωνικά τε ποιεῖ, καὶ ἀττικά. καὶ ἐφ᾽ ὧν δυάσι πτώσεων, εἰς ἰσοσυλλαβίαν

ἀληθέα, καὶ ὦ ἀληθῆ.

Σημείωσαι, ὅτι τὸ ε, καὶ τὸ ο, καὶ ἀνάπαλιν τὸ ο, καὶ τὸ ε εἰς τὴν ου δίφθογγον κιρνᾶται. τὸ ε καὶ ι εἰς τὴν ει δίφθογγον. τὸ ε, καὶ τὸ α, ἐπὶ μὲν τῆς αἰτιατικῆς τῶν ἑνικῶν, εἰς η, ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν, εἰς τὴν ει δίφθογγον. ἐπὶ τῶν οὐδετέρων δὲ, εἰς η. τὰ δύο εε, ἐπὶ μὲν τῆς εὐθείας, καὶ αἰτιατικῆς τῶν δυϊκῶν, εἰς η. ἐπὶ δὲ τῆς εὐθείας, καὶ κλητικῆς τῶν πληθυντικῶν, εἰς τὴν ει δίφθογγον. τὸ ε, καὶ οι δίφθογγος. εἰς τὴν οι δίφθογγον, τὸ ε, καὶ τὸ ω μέγα, εἰς ω μέγα.

Περὶ β. κλίσεως τῶν συνῃρημένων.

Δευτέρα κλίσις τῶν συνῃρημένων, ἔστιν ἐν τοῖς ἀρσενικοῖς, καὶ θηλυκοῖς, καὶ οὐδετέροις δηλονότι τῶν εἰς ις διὰ τοῦ ι ληγόντων ἀρσενικῶν, καὶ θηλυκῶν. καὶ τῶν εἰς ι ληγόντων οὐδετέρων. ὧν ἡ κοινὴ γενικὴ διὰ καθαροῦ τοῦ ιος παρὰ τῇ συλλάβῳ ὅσα ἰωνικά τε ποιεῖ, καὶ ἀττικά, καὶ ἐφ᾽ ὧν δύναται πτώσεων συναιρεῖται.

Ο ὄφις, τοῦ ὄφιος κοινῶς, καὶ ὄφεος ἰωνικῶς. καὶ ὄφεως ἀττικῶς. τῷ ὄφιϊ, καὶ ὄφι, καὶ ὄφεϊ, καὶ ὄφει. τὸν ὄφιν μόνως. ὦ ὄφι, καὶ ὦ ὄφις. τὼ ὄφιε, καὶ ὄφεε. τοῖν ὀφίοιν, καὶ ὀφέοιν, καὶ ὄφεων. ὦ ὄφιε, καὶ ὦ ὄφεε. οἱ ὄφιες, καὶ ὄφις, καὶ ὄφεες, καὶ ὄφεις. τῶν ὀφίων, καὶ ὀφέων, καὶ ὄφεων, τοῖς ὄφισι, καὶ ὄφεσι. τοὺς ὄφιας, καὶ ὄφις, καὶ ὄφεας, καὶ ὄφεις. ὦ ὄφιες, καὶ ὦ ὄφις. καὶ ὄφεες, καὶ ὦ ὄφεις.

Η πόλις, τῆς πόλιος κοινῶς, καὶ πόλεος ἰωνικῶς, καὶ πόλεως ἀττικῶς. τῇ πόλιϊ, καὶ πόλι, καὶ πόλεϊ, καὶ

ὧν ἡ γενικὴ διὰ τοῦ εος πρὸ τῆς συλλαβῶς ἐστι, εἰς ης, ἰσοσυλλάβως ποιεῖ τὸ σύνηρημένον. Z

Ο Δημοσθένης τοῦ Δημοσθένεος, καὶ Δημοσθένους. τῷ Δημοσθένεϊ, καὶ Δημοσθένει. τὸν Δημοσθένεα, καὶ Δημοσθένη, ὦ Δημόσθενες. καὶ ὦ Δημοσθένης. Τὼ Δημοσθένεε, καὶ Δημοσθένη, τοῖν Δημοσθενέοιν, καὶ Δημοσθενοῖν, ὦ Δημοσθένεε, καὶ ὦ Δημοσθένη. οἱ Δημοσθένεες, καὶ Δημοσθένεις. τῶν Δημοσθενέων, καὶ Δημοσθενῶν. τοῖς Δημοσθένεσι μόνως. τοὺς Δημοσθένεας, καὶ Δημοσθένεις, ὦ Δημοσθένεες, καὶ ὦ Δημοσθένεις.

Η ἀληθὴς, τῆς ἀληθέος, καὶ ἀληθοῦς, τῇ ἀληθέϊ, καὶ ἀληθεῖ, τὴν ἀληθέα, καὶ ἀληθῆ, ὦ ἀληθὲς, καὶ ὦ ἀληθὴς, τὰ ἀληθέε, καὶ ἀληθῆ, ταῖν ἀληθέοιν, καὶ ἀληθοῖν, ὦ ἀληθέε, καὶ ὦ ἀληθῆ. αἱ ἀληθέες, καὶ ἀληθεῖς, τῶν ἀληθέων, καὶ ἀληθῶν. ταῖς ἀληθέσι. τὰς ἀληθέας, καὶ ἀληθεῖς, ὦ ἀληθέες, καὶ ὦ ἀληθεῖς. Δ

Τ ὁ τεῖχος, τοῦ τείχεος, καὶ τείχους, τῷ τείχεϊ, καὶ τείχει, τὸ τεῖχος, ὦ τεῖχος, τὼ τείχεε, καὶ τείχη, τοῖν τειχέοιν. καὶ τειχοῖν, ὦ τείχεε, καὶ ὦ τείχη, τὰ τείχεα, καὶ τείχη, τῶν τειχέων, καὶ τειχῶν, τοῖς τείχεσι, τὰ τείχεα, καὶ τείχη, ὦ τείχεα, καὶ ὦ τείχη. O

Τ ὁ ἀληθὲς, τοῦ ἀληθέος, καὶ ἀληθοῦς, τῷ ἀληθέϊ, καὶ ἀληθεῖ, τὸ ἀληθὲς, ὦ ἀληθὲς, τὼ ἀληθέε, καὶ ἀληθῆ. τοῖν ἀληθέοιν, καὶ ἀληθοῖν, ὦ ἀληθέε, καὶ ὦ ἀληθῆ, τὰ ἀληθέα, καὶ ἀληθῆ, τῶν ἀληθέων, καὶ ἀληθῶν, τοῖς ἀληθέσι, τὰ ἀληθέα, καὶ ἀληθῆ, ὦ I

ἀκολουθοῦσαι στοιχείων βραχυτέρα ἡ παραλήγουσα, αὐτῆς καταλείποιτο τῆς παραληγούσης τῶν ἄλλων πτώσεων τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ. οἷον, λέγοντι, λέγουσι. θεράποντι, θεράπουσι.

Τὰ μὲν εἰς ξ, ἢ εἰς ψ λήγοντα ὀνόματα, προστιθέασι τὸ ι ἐν τῇ εὐθείᾳ, ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν. οἷον κήρυξ, κήρυξι. κύκλωψ, κύκλωψι. Αὗται μὲν οὖν, αἱ ῥηθεῖσαι κλίσεις πέντε ἁπλαῖ εἰσι, καὶ ἀσυναίρετοι. εἰσὶ δὲ ἕτεραι πέντε ἀπὸ τῆς πέμπτης, καὶ περιττοσυλλάβου κλίσεως τῶν ἀσυναιρέτων κατὰ συναίρεσιν, καὶ κρᾶσιν γινόμεναι, καί τινας δὲ βραχείας διαφορὰς ἀπὸ τῆς κοινῆς ταύτης κλίσεως κατ' ἴωνας, καὶ ἀττικοὺς ἐμφαίνουσαι. αἳ δὴ καλείσθωσαν συνῃρημέναι. ὥστε λεγέσθω, ὅτι αἱ κλίσεις τῶν ὀνομάτων εἰσὶ δέκα, ὡς εἴρηται ἄνω. πέντε μὲν, ἁπλαῖ, καὶ ἀσυναίρετοι, πέντε δὲ συνῃρημέναι.

Ἔστι τοίνυν, συναίρεσις δύο φωνηέντων συναλοιφή, καὶ ἀμφοτέρων φυλαττομένων. οἷον, Δημοσθένεϊ, Δημοσθένει.

Κρᾶσις δὲ δύο φωνηέντων συναλοιφή, καὶ ἀμφοτέρων ἀλλοιουμένων. οἷον, Δημοσθένεα, Δημοσθένη, ἢ τοῦ ἑνός. οἷον, Δημοσθένεος, Δημοσθένους. ὅμως θατέρου ἀντὶ θατέρου λαμβάνεται.

Περὶ α΄. κλίσεως τῶν συνῃρημένων.

Πρώτη κλίσις τῶν συνῃρημένων, ἐστὶν ἐν τοῖς ἀρσενικοῖς, καὶ θηλυκοῖς, καὶ οὐδετέροις, δηλονότι τῶν εἰς ης διὰ τοῦ η ληγόντων ἀρσενικῶν, καὶ θηλυκῶν ὀνομάτων, καὶ τῶν εἰς ες, ἢ εἰς ος ληγόντων οὐδετέρων.

τῇ ὑπερβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν· οἷον, παῖς, ὦ παῖ. βοῦς, ὦ βοῦ. μάντις, ὦ μάντι. πούς δὲ, ὦ πούς, ποιεῖ.

Τὰ εἰς ω, καὶ εἰς ως θηλυκὰ, ὧν ἡ γενικὴ διὰ τοῦ οος κατὰ συναίρεσιν εἰς ους περαιοῦται, εἰς οι ποιεῖ τὴν κλητικήν. οἷον, σαπφώ, σαπφόος, καὶ σαπφοῦς, ὦ σαπφοῖ.

Τὰ γε μὴν παρὰ ταῦτα εἰς ης διὰ τοῦ η, ἢ εἰς ως διὰ τοῦ ω μεγάλου, διὰ τοῦ τος, ἢ διὰ καθαροῦ τοῦ ος κλινόμενα, καὶ τὰ εἰς διπλοῦν δὲ, ἢ εἰς ἀμετάβολον, ἢ εἰς δύο σύμφωνα λήγοντα, καὶ ἁπλῶς, πάντα τὰ παρὰ τὰ εἰρημένα πάντα, τὴν αὐτὴν ἔχει ὀρθὴν, καὶ κλητικήν. ἄνερ μέντοι, καὶ πάτερ καὶ σῶτερ καὶ δᾶερ λέγεται.

Περὶ τῶν πληθυντικῶν δοτικῶν.

Σημείωσαι καὶ περὶ τῶν δοτικῶν τῶν πληθυντικῶν τῆς πέμπτης κλίσεως, ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα, ὡς ἐπὶ τῆς περιττοσυλλάβου κλίσεως ἔχει πρὸ τοῦ ι δεχομένη τὸ σ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν. οἷον, πίτυϊ, πίτυσι. ἁλί, ἁλσί. παραιτησαμένη τε τὰ μὴ δυνάμενα σὺν αὐτῇ, ἀκουσθῆναι στοιχεῖα, δηλονότι τὸ δ, καὶ τὸ ν, καὶ τὸ τ. οἷον, αἴαντι, αἴασι. τριάδι, τριάσι. γέλωτι, γέλωσι. εἰ δὲ ὃ σύμφωνον ἔχει πρὸ τοῦ ι, καὶ τὸ υ, πρὸ τοῦ σ προσλαβοῦσα, εἰ καὶ ἡ εὐθεῖα τοῦ τ ἔχει ἐν διφθόγγῳ· οἷον, βοΐ, βουσί. πηλεῖ· πηλεῦσι, καὶ αὐξήσασα τὴν παραλήγουσαν ἐκτάσει διχρόνου, ἢ προσθήκῃ φωνήεντος οἰκείως ἔχοντος προστεθῆναι, εἰ προειρημένων τῶν μὴ δυναμένων σὺν αὐτῇ

τοῦ σ ποιεῖ τὴν κλητικήν. ὁμοίως δὲ καὶ τὰ εἰς ης ἰσοσυλλάβως κλινόμενα ὡς ἀπὸ τῆς αὐτῆς πρώτης κλίσεως ἔχει. εἰ μὴ παρὰ ῥῆμα εἴη παρηγμένα, ἢ τὸ τ ἔχει, ἢ ἐθνικὰ εἴη, κατὰ ἀποβολὴν τοῦ σ ποιεῖ τὴν κλητικήν. εἰ γάρ τι τῶν εἰρημένων εἴη, εἰς α, ποιεῖ τὴν κλητικήν. τὰ δὲ εἰς α, καὶ εἰς η λήγοντα θηλυκά, ὡς ἀπὸ τῆς δευτέρας κλίσεως ἔχει, καὶ τὰ εἰς ως ἀρσενικά, καὶ θηλυκά. διὰ τοῦ ω μεγάλου, ὡς ἀπὸ τῆς τρίτης κλίσεως. τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. ταῦτα δ' ἐστὶ τὰ ἀττικά. τά γε μὴν εἰς ος διὰ τοῦ ο μικροῦ ἀρσενικά, καὶ θηλυκά. ὡς ἀπὸ τῆς τετάρτης κλίσεως ἔχει, εἰς ε ποιεῖ τὴν κλητικήν. εἰ δὲ περιττοσυλλάβως κλίνοιντο, ὡς ἀπὸ τῆς πέμπτης κλίσεως ἔχει, πλὴν τε κανόνων τινῶν σημειουμένων, τὰ λοιπὰ τὴν αὐτὴν ἔχει ὀρθήν, καὶ κλητικήν.

Τὰ μὲν γὰρ διὰ τοῦ ντ κλινόμενα καὶ μὴ διφθόγγῳ παραληγόμενα, ἀπὸ τῆς γενικῆς ἀποβολῇ τοῦ τος ποιεῖ τὴν κλητικήν. οἷον, Αἴαντος, ὦ Αἶαν. τοῦ χαρίεντος, ὦ χαρίεν.

Τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα, ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην τὸ ος, ποιεῖ τὴν κλητικήν. οἷον, Ἕλληνος, ὦ Ἕλλην. ἕκτορος, ὦ ἕκτορ. τὰ εἰς ης διὰ τοῦ εος εἰς ους κατὰ συναίρεσιν ἔχοντα τὴν γενικήν, εἰς ες ποιεῖ τὴν κλητικήν, καὶ ἀναβιβάζει τὸν τόνον, εἰ σύνθετά εἰσι, καὶ βαρύτονα. οἷον ὁ Δημοσθένης, τοῦ Δημοσθένεος, καὶ Δημοσθένους, ὦ Δημόσθενες.

Τὰ εἰς σ λήγοντα μετὰ διφθόγγου, ἢ μετὰ τοῦ ι, ἢ μετὰ

Σημείωσαι ἐπὶ ταύτης τῆς πέμπτης καὶ περιττοσυλλάβου κλίσεως, ὅτι τὰ εἰς ις, διὰ τοῦ ι, ἢ διὰ τοῦ υ, λήγοντα ὀνόματα, εἰ μὲν διὰ καθαροῦ τοῦ ος κλίνοιντο, καί τοι περιττοσυλλάβως κλινόμενα, ὅμως τὴν αἰτιατικὴν εἰς ν, ἰσοσύλλαβον τῇ εὐθείᾳ ἔχει. οἷον, ὁ ὄφις, τοῦ ὄφιος, τὸν ὄφιν. ἡ λέξις, τῆς λέξεος, τὴν λέξιν. ὁ βότρυς, τοῦ βότρυος, τὸν βότρυν. ἡ πίτυς, τῆς πίτυος, τὴν πίτυν. ἐπὶ καθόλου ἐξέλιπεν ἡ χρῆσις τῶν εἰς α αἰτιατικῶν, ἐφ' ὧν ἐστιν ἡ γενικὴ εἰς ος καθαρὸν, διχρόνῳ παραληγομένη. Καὶ ἐπὶ τῶν ὀξυτονουμένων δὲ, ὡσαύτως. οἷον, ὁ ἡδὺς, τοῦ ἡδέος, τὸν ἡδύν. ἡ ἰλὺς, τῆς ἰλύος, τὴν ἰλύν. εἰ δὲ μὴ διὰ καθαροῦ τοῦ ος, ἀλλὰ μετὰ συμφώνου κλίνοιντο, εἰ μὲν ὀξύτονα εἴη κατὰ τὴν ἀκολουθίαν τῆς περιττοσυλλάβου κλίσεως, περιττοσύλλαβον εἰς α καὶ αὐτὰ ἔχει τὴν αἰτιατικήν. οἷον, κρηπὶς, κρηπῖδος, κρηπῖδα. χλαμὺς, χλαμύδος, χλαμύδα. εἰ δὲ βαρύτονα εἶεν, οὐ μόνον περιττοσύλλαβον εἰς α, ἀλλὰ καὶ ἰσοσύλλαβον εἰς ν ἔχει τὴν αἰτιατικήν. ὁ πάρις, τοῦ πάριδος, τὸν πάριδα, καὶ πάριν. ὁμοίως ἡ μῆνις, τῆς μήνιδος, τὴν μήνιδα, καὶ μῆνιν. ἔπηλυς οὖν ἑκατέρῳ γένει. ἐπήλυδος, ἐπήλυδα καὶ ἔπηλυν.

Περὶ τῆς κλητικῆς

Σημείωσαι δὲ καὶ περὶ τῶν κλητικῶν, ὅτι καθόλου μὲν αἱ πληθυντικαὶ, τὰς αὐτὰς ἔχουσιν ὀρθὰς, καὶ κλητικάς. καὶ ἐπὶ τῶν οὐδετέρων δὲ καθόλου ἡ αὐτή ἐστιν ὀρθὴ, καὶ αἰτιατικὴ, καὶ κλητική. χωρὶς δὲ τούτων, τὰ μὲν ἰσοσυλλάβως κλινόμενα, εἰ μὲν εἰς ας λήγει, ὡς ἐπὶ τῆς πρώτης κλίσεως ἔχει, ἀποβολῇ

πηδόνος. ὁ ποσειδῶν τοῦ ποσειδῶνος. ὁ ξενοφῶν, ξενοφῶντος. ὁ κοιτὼν, κοιτῶνος. ὁ ἀγὼν ἀγῶνος. ὁ χειμὼν, χειμόνος. Τὰ εἰς ων βαρύτονα, εἰ μὲν παρώνυμα εἴη, διὰ τοῦ ωνος, κλίνεται. οἷον κικέρων κικέρωνος. εἰ δὲ ῥηματικὰ, ἢ κοινὰ τῷ γένει, διὰ τοῦ ονος. οἷον, φιλήμων, φιλήμονος. βελτίων, βελτίονος. σώφρων, σώφρονος. τὰ δὲ ἔχοντα θηλυκὰ διὰ τοῦ αινα, διὰ τοῦ ντ κλίνεται. οἷον, θεράπων, θεράποντος. ὅτι θεράπαινα, πλὴν τοῦ λάκων, λάκωνος. ὃ ὅμως ἔστι λάκαινα.

Τὰ δὲ εἰς ων μὴ βαρύτονα, εἰ μὲν περισπώμενα εἴη, διὰ τοῦ ωντος κλίνεται. οἷον ξενοφῶν, ξενοφῶντος. πλὴν ποσειδῶν, ποσειδῶνος. καὶ ταῶν, ταῶνος. εἰ δὲ ὀξύτονα, καὶ εἰς δων λήγει διὰ τοῦ ωνος κλίνεται. οἷον σαρπηδὼν, σαρπηδόνος. πλὴν σιδὼν, σιδῶνος. εἰ δὲ περιεκτικὰ εἴη, ἢ ὡς περιεκτικὰ, διὰ τοῦ ωνος. κλίνεται. οἷον, κοιτὼν, κοιτῶνος. ἀγὼν ἀγῶνος.

Ὁ ἴβηρ, ἴβηρος. ὁ λωτὴρ, λωτῆρος. ὁ αἰθὴρ, αἰθέρος. ὁ ἀὴρ, ἀέρος. τὰ εἰς ηρ. εἰ μὲν τὸ τ ἔχει, διὰ τοῦ ηρος κλίνεται. πλὴν ἀστὴρ, ἀστέρος. πατὴρ πατρὸς. τὰ δὲ μὴ ἔχοντα τὸ τ, διὰ τοῦ ερος. οἷον, ἀνὴρ, ἀνέρος. ὁ καὶ ἀνδρὸς λέγεται. πλὴν σωινθὴρ σωινθῆρος, ἴβηρ, ἴβηρος.

Ὁ νέστωρ, νέστορος. ὁ ἕκτωρ, ἕκτορος. Τὰ εἰς ωρ βαρύτονα διὰ τοῦ ορος κλίνεται. οἷον, νέστωρ, νέστορος. πλὴν τῶν ἐχόντων τὸ λ, ἢ τὸ μ, ἃ διὰ τοῦ ωρος. οἷον, κέλωρ, κέλωρος. τέκμωρ, τέκμωρος. καὶ τῶν ῥωμαϊκῶν ἀξιωμάτων. οἷον δικτάτωρ, δικτάτωρος. πραίτωρ, πραίτωρος.

Τὰ εἰς ηξ βαρύτονα ἁπλᾶ, διὰ τοῦ κ κλίνεται, τὰ δὲ σύνθετα καὶ ὀξύτονα, διὰ τοῦ γ.

ὁ πέρδιξ, τοῦ πέρδικος. ὁ τέττιξ, τοῦ τέττιγος. Τὰ εἰς ιξ, διὰ τοῦ κ κλίνεται, εἰ μὴ τὸ ῥῆμα εἰς ζω ἔχει. τότε γὰρ διὰ τοῦ γ κλίνεται.

ὁ δοίδυξ, τοῦ δοίδυκος. ὁ ὄνυξ, τοῦ ὄνυχος. Τὰ εἰς υξ φύσει μακρὰ παραλήγοντα, καὶ ἃ διὰ δύο συμφώνων ἐκφέρεται, διὰ τοῦ κ κλίνεται, φρὺξ ὅμως διὰ τοῦ γ. οἷον, φρυγός.

ὁ βῶξ, τοῦ βωκός. Τὰ εἰς ωξ ἁπλᾶ, διὰ τοῦ κ. πλὴν ῥώξ, ῥωγός.

ὁ κύκλωψ, κύκλωπος. ὁ μώλωψ, μώλωπος. ὁ γύψ, γυπός. Τὰ εἰς ψ, διὰ τοῦ π. κλίνονται. πλὴν τοῦ ἄραψ, ἄραβος. χάλυψ, χάλυβος. λίψ, λιβὸς, κίνιψ, κίνιφος, πόλις.

ὁ ἀλκμᾶν, τοῦ ἀλκμᾶνος. ὁ παιὰν, τοῦ παιᾶνος. Τὰ εἰς αν ὀξυνόμενα, προσθέσει τοῦ ος κλίνεται.

ὁ ἕλλην, τοῦ ἕλληνος. ὁ ποιμὴν, τοῦ ποιμένος. Τὰ εἰς ην, εἰ μὲν ὀξύτονα εἴη, μὴ ἔχοντα τὸ μ προσθέσει τοῦ ος κλίνονται. οἷον, σωλὴν, σωλῆνος. πλὴν τοῦ αὐχὴν, αὔχενος. ὅσα δὲ τὸ μ ἔχει, τρέπει τὸ η εἰς ε. οἷον ποιμὴν ποιμένος. πλὴν τοῦ μὴν μηνός. εἰ δὲ βαρύτονα εἴη, καὶ μονογενῆ τὸ η ἔχει, ἐπὶ τῆς γενικῆς, οἷον ἕλλην, ἕλληνος. ὅσα δὲ τὸ οὐδέτερον ἔχει, διὰ τοῦ ενος κλίνεται. οἷον, τέρην τέρενος.

ὁ δελφὶν, τοῦ δελφῖνος. ὁ φόρκυν, τοῦ φόρκυνος. Τὰ εἰς ιν, καὶ υν, προσθέσει τοῦ ος, ποιεῖ τὴν γενικήν.

ὁ λέων, λέοντος, ὁ θέων, θέωνος. ὁ σαρπηδὼν σαρ-

Η τρυγών. τῆς τρυγόνος, τῇ τρυγόνι. τὴν τρυγόνα. ὦ τρυγών. Τὰ τρυγόνε. ταῖν τρυγόνοιν. ὦ τρυγόνε. Αἱ τρυγόνες. τῶν τρυγόνων. ταῖς τρυγόσι. τὰς τρυγόνας. ὦ τρυγόνες.

Η τρήρων, τῆς τρήρωνος. ἡ μήκων, τῆς μήκωνος. Τῶν εἰς ων θηλυκῶν, τὰ μὲν ὀξύτονα, διὰ τοῦ ο μικροῦ κλίνονται. τὰ δὲ βαρύτονα, διὰ τοῦ ω μεγάλου. ὁμοίως τὰ τῶν πόλεων. οἷον, σιδὼν σιδῶνος.

Η αὖλαξ. τῆς αὔλακος. ἡ αἴξ, τῆς αἰγός. ἡ πίδαξ, τῆς πίδακος. ἡ προίξ, τῆς προικός. Τὰ εἰς ξ θηλυκὰ, μετὰ τοῦ φωνήεντος, διὰ τοῦ κ κλίνονται. πλὴν τὰ μονοσύλλαβα. οἷον, σύξ, συγός, προίξ ὅμως, διὰ τοῦ κ προικός.

Η σφίγξ, τῆς σφιγγός. ἡ σάλπιγξ, τῆς σάλπιγγος. ἡ σάρξ, τῆς σαρκός. Τὰ εἰς ξ μετὰ συμφώνου, εἰ μὲν τὸ γ ἔχει, διὰ τοῦ γ κλίνεται. εἰ δὲ ἄλλο σύμφωνον, διὰ τοῦ κ.

Η μήτηρ, τῆς μητέρος, ὦ μῆτερ. ἡ θυγάτηρ, τῆς θυγατέρος, ὦ θύγατερ. Τὰ εἰς ηρ θηλυκὰ, διὰ τοῦ ερος κλίνεται. μητρὸς δὲ, καὶ θυγατρὸς, κατὰ συγκοπὴν λέγονται.

Η λαμπὰς, τῆς λαμπάδος. ἡ τριὰς, τῆς τριάδος, τὰ εἰς ας θηλυκὰ, διὰ τοῦ αδος. οἷον, μονὰς, μονάδος.

Η φιλότης, τῆς φιλότητος. ἡ κακότης, τῆς κακότητος. τὰ εἰς της θηλυκὰ, διὰ τοῦ τητος κλίνεται.

Η μῆνις, τῆς μήνιδος. ἡ νεᾶνις, τῆς νεάνιδος. τὰ εἰς ις, μακρᾷ παραληγόμενα διὰ τοῦ ιδος, κλίνεται.

συγκριτικῶν. ὧν πάντων ἡ γενικὴ εἰς ου, ἡ δοτικὴ εἰς ῳ. καὶ ἡ αἰτιατικὴ εἰς ν, μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ο λόγος. τοῦ λόγου. τῷ λόγῳ. τὸν λόγον. ὦ λόγε, καὶ ὁ λόγος. Δ. τὼ λόγω. τοῖν λόγοιν. ὦ λόγω. πληθυντικά. οἱ λόγοι. τῶν λόγων. τοῖς λόγοις, τοὺς λόγους. ὦ λόγοι.

Η ὁδός. τῆς ὁδοῦ. τῇ ὁδῷ. τὴν ὁδόν. ὦ ὁδέ, καὶ ὦ ὁδός. Δ. τὰ ὁδώ. ταῖν ὁδοῖν. ὦ ὁδώ. π. αἱ ὁδοί. τῶν ὁδῶν. ταῖς ὁδοῖς. τὰς ὁδούς. ὦ ὁδοί.

Τὸ ξύλον. τοῦ ξύλου. τῷ ξύλῳ. τὸ ξύλον. ὦ ξύλον. Δ. τὼ ξύλω. τοῖν ξύλοιν. ὦ ξύλω. π. τὰ ξύλα. τῶν ξύλων. τοῖς ξύλοις. τὰ ξύλα. ὦ ξύλα.

Περὶ πέμπτης κλίσεως.

Πέμπτη κλίσις τῶν ὀνομάτων, ἔστι καὶ αὕτη ἐν τοῖς τρισὶ γένεσι, καὶ περιττοσύλλαβος δηλονότι πάντων τῶν περιττοσυλλάβων κλινομένων ὀνομάτων. ὧν πάντων ἡ γενικὴ εἰς ος, καὶ ἡ δοτικὴ εἰς ι, καὶ ἡ αἰτιατικὴ εἰς α, λήγει.

Ο αἴας τοῦ αἴαντος. τῷ αἴαντι. τὸν αἴαντα. ὦ αἴαν, καὶ ὦ αἴας. Δ. τὼ αἴαντε. τοῖν αἰάντοιν. ὦ αἴαντε. π. οἱ αἴαντες. τῶν αἰάντων. τοῖς αἴασι. τοὺς αἴαντας. ὦ αἴαντες.

Ο θόας. τοῦ θόαντος. τὰ εἰς ας καθαρὸν ὀνόματα ἀρσενικὰ δισύλλαβα βαρύτονα μακροκατάληκτα, διὰ τοῦ ντ, κλίνεται. οἷον, τὰ ἄνω.

Ο λάχης. τοῦ λάχητος. ὁ κέβης. τοῦ κέβητος. τὰ εἰς ης ἰαμβικὰ μὴ ἔχοντα τὸ τ, πρὸ τοῦ ης, εἰς τος ποιεῖ τὴν γενικήν.

νικῆς, καὶ δοτικῆς. οἷον. ἡ μαῖα, τῆς μαίας, τῇ μαίᾳ. ἡ ἡμέρα, τῆς ἡμέρας, τῇ ἡμέρᾳ. ἡ λήδα, τῆς λήδας, τῇ λήδᾳ. ἡ κιοσαίθα, τῆς κιοσαίθας, τῇ κιοσαίθᾳ. Ὅσα δὲ πρὸ τοῦ α, σύμφωνον ἄλλο ἔχει, εἰς η, αὐτὸ τὸ α, τρέπει. οἷον, μοῦσα, μούσης, μούσῃ, δίψα, δίψης, δίψῃ.

Περὶ τρίτης κλίσεως.

Τρίτη κλίσις τοῦ ὀνόματος, ἐστὶν ἐν τοῖς ἀρσενικοῖς, καὶ θηλυκοῖς. καὶ οὐδετέροις, καὶ αὕτη ἰσοσύλλαβος, δηλονότι τινῶν τῶν εἰς ως, διὰ τοῦ ω μεγάλου ληγόντων ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ τῶν εἰς ων ληγόντων διὰ τοῦ ω μεγάλου οὐδετέρων, ὧν ἡ γενική, καὶ ἡ δοτικὴ εἰς ω μέγα, καὶ ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ὁ μενέλεως. τοῦ μενέλεω. τῷ μενέλεῳ. τὸν μενέλεων. ὦ μενέλεως. Δ. τὼ μενέλεω. τοῖν μενέλεῳν. ὦ μενέλεω. Π. οἱ μενέλεῳ. τῶν μενέλεων. τοῖς μενέλεῳς. τοὺς μενέλεως. ὦ μενέλεω.

Ἡ ἅλως. τῆς ἅλω. τῇ ἅλῳ. τὴν ἅλων. ὦ ἅλως. Δ. τὰ ἅλω. ταῖν ἅλῳν. ὦ ἅλω. Π. αἱ ἅλῳ. τῶν ἅλων. ταῖς ἅλῳς. τὰς ἅλως. ὦ ἅλω.

Τὸ ἀνώγεων. τοῦ ἀνώγεω. τῷ ἀνώγεῳ. τὸ ἀνώγεων. ὦ ἀνώγεων. Δ. τὼ ἀνώγεω. τοῖν ἀνώγεῳν. ὦ ἀνώγεω. Π. τὰ ἀνώγεω. τῶν ἀνώγεων. τοῖς ἀνώγεῳς. τὰ ἀνώγεω. ὦ ἀνώγεω.

Περὶ τετάρτης κλίσεως.

Τετάρτη κλίσις τοῦ ὀνόματος, ἐστὶ καὶ αὐτὴ ἐν τοῖς τρισὶ γένεσι. καὶ ἰσοσύλλαβος, δηλονότι πάντων τῶν εἰς ος διὰ τοῦ ο μικροῦ. ληγόντων ἀρσενικῶν τε, καὶ θηλυκῶν, καὶ τῶν εἰς ον ληγόντων οὐδετέρων, πλὴν τῶν

λου. ὅτι οἱ αἰτιατικοὶ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλιτικάς.

Ἔτι ἰστέον, ὅτι ἡ γενικὴ τῶν πληθυντικῶν ταύτης τῆς πρώτης, ὁμοίως καὶ τῆς δευτέρας κλίσεως περισπᾶται ἐπὶ τῆς ληγούσης.

Σημείωσαι, ὅτι τὰ εἰς ης λήγοντα ὀνόματα ταύτης τῆς κλίσεως, εἰ παρὰ ῥῆμα εἴη, ἢ τὸ τ ἔχῃ, ἢ ἐθνικὰ εἴη, εἰς α ποιεῖ τὴν κλητικήν. οἷον ὁ βιβλιοπώλης, ὦ βιβλιοπῶλα, ὁ προφήτης, ὦ προφῆτα, ὁ πολίτης, ὦ πολῖτα, ὁ πέρσης, ὦ πέρσα.

Περὶ δευτέρας κλίσεως.

Δευτέρα κλίσις τοῦ ὀνόματός ἐστιν ἐν τοῖς θηλυκοῖς μόνοις καὶ αὐτὴ ἰσοσύλλαβος. δηλονότι πάντων τῶν εἰς α, ἢ εἰς η ληγόντων θηλυκῶν ὀνομάτων ὧν ἡ γενικὴ εἰς ας, ἢ εἰς ης. ἡ δοτικὴ εἰς ᾳ, ἢ εἰς ῃ. ἡ αἰτιατικὴ εἰς ν, μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ἡ μοῦσα, τῆς μούσης, τῇ μούσῃ, τὴν μοῦσαν, ὦ μοῦσα. Δ. τὰ μούσα, ταῖν μούσαιν. ὦ μούσα. Π. αἱ μοῦσαι, τῶν μουσῶν, ταῖς μούσαις, τὰς μούσας, ὦ μοῦσαι.

Ἡ τιμή, τῆς τιμῆς, τῇ τιμῇ, τὴν τιμήν, ὦ τιμή. Δ. τὰ τιμά, ταῖν τιμαῖν, ὦ τιμά. Π. αἱ τιμαί, τῶν τιμῶν, ταῖς τιμαῖς, τὰς τιμάς, ὦ τιμαί.

Ἡ μαῖα, τῆς μαίας, τῇ μαίᾳ, τὴν μαῖαν, ὦ μαῖα. Δ. τὰ μαία, ταῖν μαίαιν, ὦ μαία. Π. αἱ μαῖαι, τῶν μαιῶν, ταῖς μαίαις, τὰς μαίας, ὦ μαῖαι.

Σημείωσαι ἐπὶ ταύτης τῆς δευτέρας κλίσεως. ὅτι, ὅσα μὲν καθαρὸν ἔχει τὸ α, ἢ μετὰ τοῦ ρ, ἢ μετὰ τοῦ δ, ἢ μετὰ τοῦ θ, τηρεῖ αὐτὸ τὸ α, καὶ ἐπὶ τῆς γε-

Τῶν ἄρθρων, τὰ μὲν προτακτικά, τὰ δὲ ὑποτακτικά.

Προτακτικὰ μὲν ἀρσενικά, εἰσὶ ταῦτα. Ενικὰ ἡ εὐθεῖα, ὁ. ἡ γενική, τοῦ. ἡ δοτική, τῷ. ἡ αἰτιατική, τὸν. Δυϊκά, ἡ εὐθεῖα, καὶ ἡ αἰτιατική, τώ. ἡ γενική, καὶ δοτική, τοῖν. πληθυντικά. ἡ εὐθεῖα, οἱ. ἡ γενική, τῶν. ἡ δοτική, τοῖς. ἡ αἰτιατική, τούς.

Υποτακτικὰ δ' ἀρσενικὰ ταῦτα. ἑνικά. ὅς. οὗ. ᾧ. ὅν. Δ. ὥ. οἷν. π. οἵ. ὧν. οἷς. οὕς.

Αρθρα θηλυκὰ προτακτικά. Ενικά. ἡ. τῆς. τῇ. τὴν. Δ. τά. ταῖν. π. αἱ. τῶν. ταῖς. τάς.

Υποτακτικά.

Ενικά. ἥ. ἧς. ᾗ. ἥν. Δ. ἅ. αἷν. πληθυντικά. αἵ. ὧν. αἷς. ἅς.

Αρθρα δὲ οὐδέτερα προτακτικά.

Ενικά. τό. τοῦ. τῷ. τό. Δ. τώ. τοῖν. π. τά. τῶν. τοῖς τά.

Υποτακτικά.

Ενικά. ὅ. οὗ. ᾧ. ὅ. Δ. ὥ. οἷν. π. ἅ. ὧν. οἷς. ἅ.

Κλητικὸν δὲ ἐπίρρημα ἐν πᾶσι τοῖς γένεσι, καὶ ἐν πᾶσι τοῖς ἀριθμοῖς ὁμοίως τὸ ὦ.

Περὶ κλίσεως τῶν ὀνομάτων.

Τῶν ὀνομάτων τὰ μὲν κλίνονται ἰσοσυλλάβως. οἷον, αἰνείας, αἰνείου. τὰ δὲ περιττοσυλλάβως. οἷον, αἴας, αἴαντος. ὥστε καλείσθω ἡ μὲν κλίσις ἰσοσύλλαβος, ἡ δὲ περιττοσύλλαβος.

Πόσαι κλίσεις τῶν ὀνομάτων; δέκα. πέντε μὲν ἁπλαῖ, καὶ ἀσυναίρετοι. ὧν τέσσαρες μὲν ἰσοσύλλαβοι. μία δὲ περιττοσύλλαβος. πέντε δὲ συνῃρημέναι

κὰ μόνα τῶν λέξεων φωνήεντα, καὶ τῶν συμφώνων δὲ μόνον τὸ ρ, ἐν ἀρχαῖς λέξεων εὑρισκόμενον.

Π όσα πάθη; τρία, ἡ ἀπόστροφος, ἡ ὑφὲν, καὶ ἡ ὑποδιαστολή.

Περὶ λόγου.

Τί ἐστι λόγος; λέξεων σύνθεσις διάνοιαν αὐτοτελῆ δηλοῦσα.

Π όσα μέρη τοῦ λόγου; ὀκτὼ, ὄνομα, ῥῆμα, μετοχὴ, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, καὶ σύνδεσμος.

Περὶ ὀνόματος.

Π όσα παρέπεται τῷ ὀνόματι; πέντε. γένη, εἴδη, σχήματα, ἀριθμοὶ, καὶ πτώσεις.

Π όσα γένη; τρία, ἀρσενικὸν, θηλυκὸν, καὶ οὐδέτερον.

Τί ἐστιν ἀρσενικὸν γένος; ὃ προτάσσεται κατ᾽ εὐθεῖαν, καὶ γενικὴν πτῶσιν ἄρθρον τὸ ο, οἷον, ὁ αἴας.

Τί ἐστι θηλυκὸν γένος; ὃ προτάσσεται κατ᾽ εὐθεῖαν, καὶ γενικὴν πτῶσιν ἄρθρον τὸ η, οἷον, ἡ μοῦσα.

Τί ἐστιν οὐδέτερον γένος; ὃ προτάσσεται κατ᾽ εὐθεῖαν, καὶ γενικὴν πτῶσιν ἄρθρον τὸ τό. οἷον τὸ βῆμα.

Π όσα εἴδη; δύο, πρωτότυπον, καὶ παράγωγον.

Π όσα σχήματα; τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον.

Π όσοι ἀριθμοί; τρεῖς, ἑνικὸς, δυϊκὸς, καὶ πληθυντικός.

Π όσαι πτώσεις; πέντε, ὀρθὴ, ἡ καὶ εὐθεῖα λέγεται, γενικὴ, δοτικὴ, αἰτιατικὴ, καὶ κλητικὴ.

Περὶ ἄρθρων.

λή. ῾, ἀπόστροφος. ᾿, ὑφὲν ‿, ἢ ὑποδιαστολή. ,.

Ε ἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι; εἰς τέσσαρα. εἰς τόνους. εἰς χρόνους. εἰς πνεύματα. καὶ εἰς πάθη.

Π όσοι τόνοι; τρεῖς, ἡ ὀξεῖα, ἡ βαρεῖα, καὶ ἡ περισπωμένη.

Σημείωσαι, ὅτι οἱ μὲν τόποι τῆς ὀξείας τρεῖς εἰσιν. ἡ λήγουσα, ἡ παραλήγουσα, καὶ ἡ προπαραλήγουσα. Τῆς δὲ βαρείας, τόπος ἡ λήγουσα. Τῆς δὲ περισπωμένης, ἡ λήγουσα, καὶ ἡ παραλήγουσα.

Ε τι σημείωσαι, ὅτι τὸ μὲν τῆς ληγούσης ἔχον τὴν ὀξεῖαν, καὶ τὴν βαρεῖαν, ὀξύτονον καλεῖται. Τὸ δ᾽ ἐπὶ τῆς παραληγούσης ἔχον τὴν ὀξεῖαν, παροξύτονον, καὶ βαρύτονον. Τὸ δ᾽ ἐπὶ τῆς προπαραληγούσης, προπαροξύτονον, καὶ βαρύτονον. Ετι, τὸ τὴν περισπωμένην ἔχον, ἐπὶ μὲν τῆς ληγούσης, περισπώμενον, ἐπὶ δὲ τῆς παραληγούσης βαρύτονον, καὶ προπερισπώμενον.

Σ ημείωσαι, ὅτι μακρᾶς οὔσης ἐπὶ τέλους, οὐ δύναται προπαροξυνθῆναι λέξις. Πρὸ δύο συλλαβῶν, ἐπὶ τόνος περισπωμένη οὐ τίθεται. ὀξεῖα δὲ ἀεί. Επάνω θέσει μακρᾶς περισπωμένη οὐ τίθεται. ὀξεῖα δὲ ἀεί. Μακρὰ πρὸ μακρᾶς οὐ περισπᾶται. ὀξεῖαν δὲ ἔχει ἀεί. Πᾶσα δὲ φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐν ἑνὶ μέρει λόγου οὖσα, καὶ ἐφ᾽ ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται.

Π όσοι χρόνοι; δύο. ἡ μακρὰ καὶ ἡ βραχεῖα.

Π όσα πνεύματα; δύο. ἡ δασεῖα. καὶ ἡ ψιλή.

Π οῖος ἐστὶ τῶν πνευμάτων τόπος; πάντα τὰ ἀρκτι-

Ε ἰς πόσα διαιροῦνται τὰ ἐννέα ἄφωνα; εἰς τρία. εἰς ψιλά, εἰς δασέα, καὶ εἰς μέσα.

Π όσα ψιλά; τρία. κ. π. τ.

Π όσα δασέα; τρία. θ. φ. χ.

Π όσα μέσα; τρία. β. γ. δ.

Α ντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς. τὸ μὲν φ, τῷ π. τὸ δὲ χ, τῷ κ, τὸ δὲ θ, τῷ τ. καὶ ἔστι τὸ μὲν β, μέσον τοῦ π, καὶ φ. τὸ δὲ γ, μέσον τοῦ κ, καὶ χ. τὸ δὲ δ, μέσον τοῦ θ, καὶ τ.

Περὶ συλλαβῆς.

Τ ί ἐστι συλλαβή; σύλληψις τοὐλάχιστον δύο γραμμάτων. καταχρηστικῶς δὲ καὶ αἱ μονογράμματοι συλλαβαὶ λέγονται, οἷον, α, ε.

Ε ἰς πόσα διαιρεῖται ἡ συλλαβή; εἰς τρία, εἰς μακρὰν, εἰς βραχεῖαν, καὶ εἰς κοινήν.

Π οσαχῶς λέγεται ἡ μακρὰ συλλαβή; διχῶς, ἢ γὰρ φύσει, ἢ θέσει. φύσει μὲν ὁπόταν ἐν τῶν μακρῶν φωνηέντων, ἢ δίφθογγον, ἢ ἓν τῶν διχρόνων ἐκτεταμένων ἔχῃ. θέσει δὲ ὅταν μετὰ τὸ αὐτῇ, φύσει βραχὺ φωνῆεν, δύο σύμφωνα ὁποσοῦν ὑποφέρηται. πλὴν ἀφώνου πρὸ ἀμεταβόλου. τότε γὰρ κοινὴ γίνεται, δυναμένη μακρὰ εἶναι ἡ αὐτὴ, καὶ βραχεῖα.

Περὶ λέξεως.

Τ ί ἐστι λέξις; μέρος σημαντικὸν ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου.

Περὶ προσῳδιῶν.

Π όσαι προσῳδίαι; δέκα, ὀξεῖα. ´, βαρεῖα. `, περισπωμένη. ˜, μακρά. ¯, βραχεῖα. ˘, δασεῖα. ῾, ψι-

ΕΡΩΤΗΜΑΤΑ ΤΟΥ ΧΡΥΣΟΛΩΡΑ.

Ε ἰς πόσα διαιροῦνται τὰ εἰκοσιτέσσαρα γράμματα; ἃ καὶ στοιχεῖα λέγεται; εἰς δύο. εἰς φωνήεντα, καὶ εἰς σύμφωνα.

Α πόσα φωνήεντα; ἑπτὰ, α, ε, η, ι, υ ψιλὸν, ο μικρὸν, καὶ ω μέγα.

Ε ἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; εἰς τρία, εἰς μακρὰ, εἰς βραχέα, καὶ εἰς δίχρονα.

Α πόσα μακρά; δύο, η, καὶ ω μέγα.

Α πόσα βραχέα; δύο, ε ψιλὸν, καὶ ο μικρόν.

Α πόσα δίχρονα; τρία, α, ι, υ.

Α πόσαι δίφθογγοι κυρίως; ἕξ, αι, αυ, ει, ευ, οι, ου, εἰσὶ καὶ ἄλλαι δίφθογγοι πέντε καταχρηστικῶς λεγόμεναι, ᾳ, ῃ, ηυ, ῳ, ω.

Α πόσα σύμφωνα; δεκαεπτὰ, β, γ, δ, ζ, θ, κ, λ, μ, ν, ξ, π, ρ, σ, τ, φ, χ, ψ.

Ε ἰς πόσα διαιροῦνται τὰ δεκαεπτὰ σύμφωνα; εἰς δύο, εἰς ἡμίφωνα, καὶ εἰς ἄφωνα.

Α πόσα ἡμίφωνα; ὀκτὼ, ζ, ξ, ψ, λ, μ, ν, ρ, σ.

Ε ἰς πόσα διαιροῦνται τὰ ὀκτὼ ἡμίφωνα; εἰς τρία, εἰς διπλᾶ, εἰς ἀμετάβολα, καὶ εἰς τὸ σ.

Α πόσα διπλᾶ; τρία, ζ, ξ, ψ.

Α πόσα ἀμετάβολα; τέσσαρα, ἃ καὶ ὑγρὰ λέγονται, λ, μ, ν, ρ.

Α πόσα ἄφωνα; ἐννέα, β, γ, δ, κ, π, τ, θ, φ, χ.

ALDVS CAESARI ARAGO- NIO. S. P. D.

Emanuel Chrysoloras, qui primus Iuniorum reportauit In Italiam literas græcas, easq́; ipsas Florentiæ multos, ut aiunt, annos profeßus est, rudimenta Grammatices græcæ linguæ & docte & breuiter composita, edidit. Ea nos hortatu Marci Musuri Cretensis, uiri doctißimi, qui nunc publice profitetur Venetijs frequenti semper ac graui auditorio literas græcas, imprimenda curauimus. Tum alia quædam addidimus non inutilia ijs, qui græce discere concupiscunt. Quam ob rem meas esse parteis duxi, pro mea erga familiam Aragoniam, ac in te præcipue beneuolentia, si illa sub tuo nomine publicarē excusa typis nostris, muneriq́; ad te mitterem, ut ipsis legendis, ediscendisq́; proficias plurimum græcis literis, quarum es studiosißimus. quando sic iam latinis profecisti nondum annos natus duodecim, ut & carmine & prosa oratione quod legis, intelligas. Incumbe igitur mi Cæsar, Incumbe, ut cœpisti, bonis literis, disce omneis, quæ regios pueros decent, uirtutes, nam non dubito, cum ante annos animumq́; geras, curamq́; uirilem, quin dignißimus futurus sis domo tua illustrißima: quando quidem, & si

Παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους,

Vt Homerus ait, tamen ea est indoles, id ingenium, ea modestia, ij mores tui in hac tua tenerrima ætate, ut non modo patri similis optimo Regi, sed uel eo melior, id quod paucis admodum datum est, futurus uideare. Vale.

ΕΡΩΤΗΜΑΤΑ ΤΟΥ ΧΡΥΣΟΛΩΡΑ.

Περὶ ἀνωμάλων ῥημάτων.
Περὶ σχηματισμοῦ τῶν χρόνων, ἐκ τῶν χαλκονδύλου.
Τὸ τέταρτον τοῦ Γαζῆ, περὶ συντάξεως.
Περὶ ἐγκλιτικῶν.
Γνῶμαι μονόστιχοι ἐκ διαφόρων ποιητῶν.
Κάτων.
Ἐρωτήματα τοῦ Γουαρίνου.

EROTEMATA CHRYSOLORAE.

De anomalis uerbis.
De formatione temporum ex libro Chalcondylæ.
Quartus Gazæ de Constructione.
De Encleticis.
Sententiæ monostichi ex uarijs poetis.
Cato.
Erotemata Guarini.

VENETIIS.